Badische Landesbibliothek Karlsruhe

Digitale Sammlung der Badischen Landesbibliothek Karlsruhe

# Argonautica, griech

Orpheus <Fiktive Gestalt>

[Florenz], 19. Sept. 1500

[Text]

urn:nbn:de:bsz:31-248724

Visual Library

# ·ΟΡΦΕΩΣ· ΑΡΓΟΝΑΥ-ΤΙΚΑ·

ΑΝΑΞ ΠΥΘΩΝΟΣ μεδέων ἑκατηβόλε μάντι·
ὃς λάχες ἠλιβάτου κορυφῆς παρνασίδα πέτρην·
σὴν ἀρετὴν ὑμνῶ, σὺ δέ μοι κλέος ἐσθλὸν ὀπάσσαις·
πέμπε δ' ἐπὶ πραπίδεσσιν ἐμαῖς ἐτυμηγόρον αὐδὴν
ὄφρα πολυσπερέεσσι βροτοῖς λιγύφωνον ἀοιδὴν
ἠπύσω μούσης ἐφετμαῖς· καὶ πηκτίδι πυκνῇ·
νῦν γάρ σοι λυροεργὲ φίλον μέλος ἀείδοντα·
θυμὸς ἐποτρύνει λέξαι, τά περ οὔποτε πρόσθεν·
ἔφρασ' ὅταν βάκχοιο καὶ ἀπόλλωνος ἄνακτος·
κέντρῳ ἐλαυνόμενος, φρικώδεα κῆλ' ἐπίφασκον·
θνητοῖς ἀνθρώποισιν ἄκη· μετὰ δ' ὄργια μύστας·
ἀρχαίου μὲν πρῶτα χάους ἀμέγαρτον ἀνάγκην·
καὶ κρόνον ὃς ἐλόχευσεν ἀπειρεσίοισιν ὑπ' ὁλκοῖς
αἰθέρα· καὶ διφυῆ περιωπέα κυδρὸν ἔρωτα·
νυκτὸς ἀειγνήτης πατέρα κλυτόν· ὃν ῥα φάνητα
ὁπλότεροι κικλήσκουσι βροτοί· πρῶτος γὰρ ἐφάνθη
βριμοῦς τ' εὐδυνάτοιο γονὰς ἠδ' ἔργ' ἀΐδηλα
γιγάντων· οἳ λυγρὸν ἀπ' οὐρανοῦ ἐστάξαντο,
σπέρμα γονῆς τὸ πρόσθεν ὅθεν γένος ἐξεγένοντο αἳ

θνητῶν. οἳ κατὰ γαῖαν ἀπείριτον αἰὲν ἔασι
θητεῖαν τε ζωὸς, ὀρεσιδρόμου τὲ λατρείαν
μητρὸς. ἅ τ' ἐν κυβέλοις ὄρεσιν μητίσατο κούρῃ.
φερσεφόνῃ περὶ πατρὸς ἀμαιμακέτου κρονίωνος
μῆχόν τε καὶ ἡρακλῆος περίφημον ἄμυξιν.
ὄργιά τ' ἰδαίων κορυβάντων τ' ἄπλετον ἰσχὼ.
δήμητρός τε πλάνην. καὶ φερσεφόνης μέγα πένθος
θεσμοφόρος θ' ὡς ἦν. ἠδ' ἀγλαὰ δῶρα καβείρων
χρησμοὺς τ' ἀρρήτους νυκτὸς περὶ βάκχου ἄνακτος
λῆμνόν τε ζαθέην. ἠδ' εἰναλίην σαμοθράκην
αἰπεινήν τε κύπρον. καὶ ἀδωναίῃ ἀφροδίτῃ·
ὄργια πραξιδίκης. καὶ ἀρείνης νυκτὸς ἀθωίνης.
θρήνους τ' αἰγυπτίων, καὶ ὀσίριδος ἱερὰ χύτλα
ἀμφὶ δὲ μαντείης ἐδάην πολυπείρονας ὅρμους.
θηρῶν οἰωνῶν τε, καὶ ἐκ σπλάγχνων θέσιος ἐστὶν
ἠδ' ὅσα θεσπίζουσιν ὀνειροπόλοισιν ἀταρποῖς
ψυχαὶ ἐφημερίων, ὕπνῳ βεβολημέναι ἦτορ.
σημείων τεράτων τε λύσεις, ἄστρων τε πορείας.
ἁγνοπόλον τε καθαρμὸν, ἐπιχθονίοις μέγ' ὄνειαρ.
ἱλασμούς τε θεῶν, φθιμένων τ' ἐπινήχυτα δῶρα.
ἄλλα δέ σοι κατέλεξ' ἅπερ εἴσιδον ἠδ' ἐνόησα.
Ταίναρον ἡνίκ' ἔβην σκοτίην ὁδὸν, ἄϊδος εἴσω
ἡμετέρῃ πίσυνος κιθάρῃ, δι' ἔρω τ' ἀλόχοιο
ἠδ' ὅσον αἰγυπτίων ἱερὸν λόγον ἐξελόχευσα.
μέμφιν ἐς ἠγαθέην πελάσας ἱεράς τε πόληας.
ἄπιδος. ἃς πέρι νεῖλος ἀγάρροος ἐστεφάνωται.
πάντα μάλ' ἀτρεκέως ἀπ' ἐμῶν στέρνων δεδάηκας.
νῦν δ' ἐπεὶ ἀεροφοιτὸς ἀπέπτατο δήιος οἶστρος,

ἡμετέρου δέμας ἐκπρολιπὼν· ἐς οὐρανὸν εὐρὺν,
πάσῃ ἀφ' ἡμετέρης ἐμοπῆς ἃ πρὶν ἔκευθον·
ὥς ποτε πιερίην Λειβήθρων τ' ἄκρα κάρηνα
λισσόμενος μ' ἐπίκουρον ἑοῦ νόστοιο γενέσθαι·
ποντοπόρῳ σὺν νηὶ πρὸς ἄξενα φῦλ' ἀνθρώπων,
ἔθνος ἐς ἀφνειὸν καὶ ἀτάσθαλον· ὧν ἐνὶ κραίνεν
αἰήτης, υἱὸς φαεσιμβρότου ἠελίοιο·
θέσφατα γὰρ πελίας δειδίσσετο μή οἱ ὄπισθεν
χειρὸς ἐπ' αἰσονίδα καθέλῃ βασιλήιον ἀρχήν· .
καί οἱ ὑπὸ πραπίδεσσι δόλου ῥίβον ἠπερόπευε·
τάσσε γὰρ ἐκ κόλχων, χρύσειον κῶας ἐνεῖκαι,
θεσσαλίην εὔπωλον· ὃ δ' ὡς κλύεν ἔκνομον αὐδήν
χεῖρας ἐπαντείνας, ἐπεκέκλετο πότνιαν ἥρην
τὴν δὲ γὰρ ἐκ μακάρων περιώσια κυδαίνεσκεν·
ἡ δ' ἔ, παρ' ἐσχωλῆσιν ἐφέσσετο κηδομένη περ
ἔξοχα γὰρ μερόπων ἠγάζετο καὶ φιλέεσκεν
δημοβίην ἥρωα περικλυτὸν αἴσονος υἱα
καὶ ῥα καλεσσαμένη ἐπετέλλετο τριτογενείῃ
καί οἱ φηγινέην πρῶτον τεκτήνατο νῆα
ἣ καὶ ὑπ' εἰλατίνοις ἐρετμοῖς ἁλιμυρέα βένθη
πρώτη ὑπεξεπέρησε· ῥίβους δ' ἤνυσε θαλάσσης·
ἀλλ' ὅτε δὴ συναγείρεν ἀγακλειτοὺς βασιλῆας·
θρήκην ἐς εὔπωλον, ἐπείγετο δῖος ἰήσων
καί μ' ἐκίχανε κιθάρην πολυδαίδαλον ἐντύνοντα
ὄφρα κε τοὶ μέλπων προχέω μελίγηρυν ἀοιδὴν
κηλήσω δέ τε θῆρας· ἠδ' ἑρπετὰ καὶ πετεηνά
ἡνίκα δ' εἰς ἄντρον πολυήρατον εἰσεπέρησε
μείλιχον ἐκ λασίων στέρνων ἀνενείκατο φωνήν

Ὀρφεῦ καλλιόπης τε καὶ οἰάγρου φίλε κοῦρε·
βιστονίῃ κικόνεσσι πολυρρήνοισιν ἀνάσσων·
καὶ ῥ᾽· ἐπεὶ αἱμονίους ὀχέας πρώτιστον ἱκάνω·
στρυμονίους τε ῥοὰς ῥοδόπης τ᾽ αἰπεινὰ πρὸς ἄγκη
εἰμὶ δ᾽ ἐγὼ μινύεσσι παρέξοχον αἷμα λελογχώς,
θεσσαλὸς αἰσονίδης· ξεῖνος δέ σοι εὔχομαι εἶναι·
ἀλλὰ φίλος πρόφρων μὲν ὑποδέχνυσο, καὶ κλῦε μῦθον
ἡλικίας ἀκοαῖς· καὶ λισσομένῳ ὑπάκουσον,
ἀξείνου πόντοιο μυχοὺς καὶ φᾶσιν ἐρυμνὸν,
νηὶ σὺν ἀργώῃ πελάσαι· δεῖξαί τε θαλάσσης
παρθενίης ἀταρπούς, ἐπήρατον ἡρώεσσιν·
οἳ ῥα τεῶ μίμνουσι χέλυν καὶ θέσκελον ὀμφήν·
ἐλπόμενοι ξυνὸν πελάγει ἐπαρηγόνα μόχθων·
οὐ γὰρ δὴ πλῶσαι πρὸς βάρβαρα φῦλα μέδονται
νόσφι σέθεν· καὶ γάρ ῥα ποτὶ ζόφον ἠερόεντα·
νέατον εἰς κευθμῶνα λιτῆς εἰς πυθμένα γαίης,
μοῦνον ἀπ᾽ ἀνθρώπων πελάσαι καὶ νόστον ἀνεύρειν·
ὧν ἕνεκεν ξυνήν τε δύην μινύαισιν ἀρέσθαι·
τὸν μὲν ἐγὼ μύθοισιν ἀμειβόμενος προσέειπον
αἰσονίδη· τί με ταῦτα παραιφάμενος ἐρεείνεις
ὄφρα κεν ἐς κόλχους μινύαις ἐπίηρανος ἔλθω·
νηὶ σὺν εὐσέλμῳ, πλεύσας ἐπὶ οἴνοπα πόντον·
ἤδη γάρ μοι ἅλις καμάτων ἅλις ἔπλετο μόχθων
ὧν ἱκόμην ἐπὶ γαῖαν ἀπειρίτον ἠδὲ πόληας·
αἴγυπτον λιβύην τε, βροτοῖς ἀναθέσφατα φαίνων·
καί με ἀλητείης τε καὶ ἐξ οἴστρου ἐσάωσε
μήτηρ ἡμετέρη· καί ῥ᾽ εἰς δόμον ἤγαγεν ἄλλον·
ὄφρα τέλος θανάτοιο κίχω, μετὰ γήραϊ λυγρῷ·

ἀλλ' οὐκ ἔσθ' ὑπαλύξαι ἃ δὴ πεπρωμένα κεῖται
μοιρῶν ἐν μεσίνῃσιν ἐπάγομαι, οὐ γὰρ ἀτῖμοι
ἱκεσίου ζηνὸς κοῦραι λιταί· ἵξομαι ἤδη
ὁπλοτέροις βασιλεῦσι καὶ ἡμιθέοις ἐνάριθμος·
καὶ τότε δὴ λίπον ἄντρον ἐπήρατον· ἦδ' ἐπέρησα
αὐτῇ σὺν φόρμιγγι· καὶ εἰς μινύας ἀφίκανον
λαιψηροῖσι πόδεσσιν, ὑπὲρ παγασηΐδας ἀκτάς·
ἔνθα δ' ἀριστήων μινύων λόχος ἠγερέθοντο
στεῖνον δὴ ψαμάθου ὁμάδῳ· ῥηγμῖνα παρ' αὐρου
ἀλλ' ὅτε δή μ' ἐνόησαν ἀταρπιτὸν ἐξανύοντα
ἀσπασίως ἤγερθεν· ἐγήθεε δ' ἦτορ ἑκάστῳ·
Αὐτὰρ ἐμυθεόμην ἐρεείνων ἄνδρας ἀρίστους
πρῶτα δὲ εἶδα βίην ἡρακλῆος θείοιο
ὃν τέκεν ἀλκμήνη ζηνὶ κρονίωνι μιγεῖσα
ἦμος ὅτε τρισσὴν μὲν ἐλείπετο σείριος αἴγλην
ἠέλιος· δολιχὴ δὲ ἐπεμαίετο πάντοθεν ὄρφνη
τῖφυν τ' ἀγνιάδην· δολιχῆς ἰθυντορα νηός·
θεσπεσιέων δ' ὅγε τῆμος ἐφ' ὕδασι τελμισοῖο
ἄγχουρος λαοῖσι φαεσίρρεθρον ἀμεῖβεν
ὃς περὶ μὲν βύκταισι καὶ ἀργήεσσιν ἀέλλαις
νῆα κατιθύνειν δ' ἐκάεν πολυμήτιδι τέχνῃ
κάστορά θ' ἱππόδαμον πολυδάκεά τ' εἰσενόησα
καὶ μόψον τιταρῆθεν, ὃν ἄμπυκι νυμφα θεῖσα
χαονίκῳ ὑποφηγὸν ἀρηγονὶς ἐξελόχευσε
πηλέα τ' αἰακίδην, αἰγίνης ἀγλαὸν υἱόν·
ὃς δολόπεσσιν ἄνασσεν ἐνὶ φθίῃ ἐριβώλῳ·
ξίοσιν δ' ἑρμείαο κλυτὴν εἰσέδρακα γένναν·
αἰθαλίδην, ὃν ἔτικτε περικλυτὴ εὐπολέμεια·

μυρμιδόνος θυγάτηρ ἀλόπη ἐνὶ πετρήεσσῃ·
ἦλθ' εὔρυτον καὶ καλὸν ἐρχίονα, τούς ποτε νύμφη
λαοθόη μερετοῖο παρ' ἀμνηθεὶς ἐλόχευσε·
κυλλήνης μεδέων χρυσόρραπις ἀργειφόντης·
αὐτίκα δ' ἀκτορίδης καὶ βουφάγος ἦλθε κόρωνος
ἴφικλος ἂν φυλάκου δῖον γένος ἀντετόρησε·
βούτης τ' αἰνεάδης, ἴκελος χρυσάορι φοίβῳ·
κάνθος δ' εὐβοίηθεν ἀβαντιάδης ἐπέρησεν·
ὃν δὴ μοῖρ' ἐδάμασσε· τέλος δ' ἐπέθηκεν ἀνάγκη·
φθίσθαι ὑπὲρ λιβύης· νόστου δ' οἴκοιο λαθέσθαι·
ἄλκωνος δ' ἐ φάληρος ἀπ' αἰσήποιο ῥοάων
ἤλυθεν· ὅς γύρτωνος ἁλισεφὲς ἔκτισεν ἄστυ
ἴφιτος ἂν μετὰ τοῖσιν ἐφέσπετο ναυβόλου υἱός·
φωκίδος ὅς ῥ' ἤνασσε καὶ εὐπύργοιο ταναγρης·
λαοδόκος τ' ἀλαὸς καὶ ἀρήιος, υἱοὶ ἀμωμοι,
ἦλθον ἀβαντιάδαι περιώνυμοι, οὓς τέκε τηρὼ·
ἰφιδάμας δ' ἀλέου παῖς ἤλυθε· πέμψε γὰρ αὐτὸν
ἴφθιμος γενέτης· τεγέης ὅρια προλιπόντα·
ἤλυθε δ' ἐργῖνος βράγχου πολύπυρον ἄρουραν
ἐκπρολιπών, καὶ τύρσιν ἐρεμνῆς μιλήτοιο·
ἔνθα ῥοαὶ κλύζουσι πολυπλανέος μαιάνδρου·
ἐν δ' ἐ περικλύμενος νηλήιος ἐσαφίκανεν·
ἀγχόθι πελλήνης τε καὶ εὐύδροιο λιπέζου·
ἄστυ λιπὼν ἀφνειὸν ὀρχομένους τε κολώνας·
ἐκ δ' ἐλιπὼν καλυδῶνα θοὸς μελέαγρος ἔβαινεν·
οἰνέας τὸν ῥ' ἐλόχευσε καὶ ἀλθαίη ῥοδόπηχυς·
ἴφικλος αὖτ' ἐπέρησε λιπὼν ἀτρακηίδα λίμνην·
σύγγονος ἀλθαίης· περὶ δ' αὖ τίεν ἔξοχα πάντων,

ἔλθῃ Μελέαγρον· ἰδ' ἀγλαὰ ἔργ' ἐδίδασκεν·
ἀστερίων δ' ἐπέρησε πάϊς κλεινοῖο κομήτου·
τειρεσίῃ ὅς ἔναιεν ἐπ' ἀπιδανοῖο ῥεέθροις·
πηνειὸς μίσγων ξυνὸν ῥόον εἰς ἅλα πέμπει·
εὐρυδάμας δ' ἐπόρουσε λιπὼν φοιβηΐδα λίμνην·
ἀγχόθι πηνειοῖο καὶ ἐλλάγεος μελιβοίης·
Αὐτὰρ ἔπειτ' ἐλάτοιο πάϊς πολύφημος ἵκανεν·
ὅς φιν ἐν ἠνορέῃσι μετέπρεπεν ἡρώεσσιν·
ἠνειὸς καινῆος ἀφίκετο· τὸν ῥά τε φασὶ
μισγόμενον λαπίθαις ὑπὸ κενταύροισι δαμῆναι·
θεινόμενον πλάκασι τανυφλοίοις ἐλάτῃσι·
καὶ οἱ ἀνατλῆναι καὶ ἀκαμπέα γοῦνατ' ἐρεῖσαι·
ζωόν τ' ἐν φθιμένοισι μολεῖν ὑπὸ κεύθεα γαίης·
ἄδμητος δ' ἀφίκανε φεραιόθεν, ᾧ ποτε παιὰν
θητεύων ὑπόεικε· διὸς δ' ἠλεύατο μῆνιν·
οὕνεκά τοι κύκλωπας ἀναιμακέτοισιν ὀϊστοῖς,
ἐν φθιτοῖσιν ἔταξ' ἀσκληπιοῖο εἵνεκα λώβης·
ἤλυθε δ' ἀκτορίων ἶλου παῖς ἀκτορίωνος·
τρηχείνην ὀπόεντα λιπὼν, σὺν δ' ἤλυθεν ἴδας·
λυγκεύς θ' ὃς τήλιστα δι' αἰθέρος ἠδ' ἐ θαλάσσης
βένθεα· καὶ πλουτῆος ὑπὸ χθονίοιο βέρεθρα,
μοῦνος ἀπ' ἀνθρώπων δεινοῖσιν ὀπώπεεν ὄσσοις·
Αὐτὰρ ἐπεὶ τελαμὼν συνεφέσσετο, τὸν ῥ' ἐλόχευσεν
αἰακῷ ἀτρύτω κούρη κλυτοῦ ἀσωποῖο
αἴγιν, ἐν κροκάλησιν ἁλιστεφέος σαλαμῖνος,
δὴ τότ' ἄβαντος παῖς νόθος ἤλυθε κρατερὸς ἴδμων
τὸν ῥ' ὑποκυσαμένη τέκεν ἀπόλλωνι ἄνακτι,
ἀμβρόσιον παρὰ χεῦμα φερητιὰς ἀντιάνειρα·

τῶ καὶ μαντοσύνην ἔπορε καὶ θέσφατον ὀμφὴν
φοῖβος· ἵν' ἀνθρώποισιν ἀρηρότα μυθίζοιτο·
ἤλυθε δ' αὖ μετὰ τοῖσι μενοίτιος ἐξ ὀπόεντος·
σύγχορτος μινύαις· ἐπὶ δ' ἤλυθε δῖος ὀϊλεύς·
φλίας δ' ἐξίκανε περικλυτὸς, ὅν ποτε βάκχω·
νύμφη ὑποκλινθεῖσα παρ' ἀσωποῖο ῥοῇσι·
τίκτεν ἄμωμον ἔχοντα δέμας καὶ ἐπίφρονα μῆτιν
κηφεὺς τ' ἀρκαδίηθεν ἔμεθ' ἡρώεσσι πελάσθη
ἀγκαῖον δ' ἀν' ὅμιλον ἀπ' ἀρκαδίης πολυμήλου·
πέμψε πατὴρ γηραιὸς ἐπὶ πλόον ἀξείνοιο·
οὗτος δ' οὔποτε χλαῖναν ἐπὶ στιβαροῖς βάλεν ὤμοις
ἀλλ' ἄρκτου λασίοιο στέρνοις ἀμπίσχετο δέρμα·
ναύπλιος αὖθ' ἵκανεν ἀμύμονος φίλος υἱός·
ὃν τέκεν δμηθεῖσα περικλυτῷ ἐννοσιγαίῳ·
ἀγλαὸν ἠνορέῃ δέμας ἴκελον ἀθανάτοισι·
ταιναρίας δ' εὔφημος ἔβη μαλεάτιδος ἄκρης
ἐκπρολιπὼν αὐλῶνας, ἁλικλύστους τε θεράπνας
ἀγκαῖος τ' ἔμολε πλαρώνιος ὃς ῥα προφὰς;
οὐρανίας ἄστρων ἐδάη κύκλους τε πλανήτας·
δίζετο γὰρ τά τ' ἐόντα τά τ' ἐσσόμεν' ἀνθρώποισιν·
ἐν δ' ἐπαλαμόνιος λέρνου νόθος ἤλυθεν υἱός·
σίνετο δ' ἐς σφυρὰ δοιὰ πόδας δ' οὐκ ἦεν ἀρηρώς·
τοὔνεκεν ἡφαίστοιο γόνον καλέεσκον ἅπαντες·
ἤλυθε δ' ἀλφειοῖο λιπὼν πισιδάτιδας ὄχθας·
αὐγέης υἱὸς πυριφεγγέος ἠελίοιο·
ναὶ μὴν καὶ δῖοι οἱ ὄρπηκες ἀμύμονες ἦκον,
ἀμφίων κλυτόφημος· ἰδ' ἀστέριος μενεχάρμης
πελλήνην προλιπόντ' ἰδ' ἤθεα πατρίδος αἴης·

Δῖον δ' αὖ Βορέου καλὸν στάχυν ἐσενόησα·
οὓς τέκεν Ἐρεχθῆος θέου κλυτὴ ὠρείθυια·
Ἰλισσοῦ παρὰ χεῦμα θεοῦ φιλότητι μιγεῖσα·
οἳ δὴ καὶ ταρσοῖσιν ὑπουατίοις πεπότηντο·
Ζήτης καὶ κάλαϊς, δέμας ἴκελοι ἀθανάτοισιν
Αὐτὰρ δὴ πελίαο φεραιόθεν ἤλυθ' ἄδμητος·
ἀγχιστεύς· υἱὸς γὰρ ἐπ' ἀργῴας γεγένητο·
ἄξενον ποτὶ φᾶσιν ἅμ' ἡρώεσιν ἐλάσαι·
σὺν δέ οἱ ἦλθ' ἑτάρος ἡρακλέεος θείοιο,
καλὸς ὕλας· τὸν δ' οὔπω ὑπὲρ δροσεροῖο γενείου,
ἀργεννὲς ἐρύθεν παρηῖδας ἁβρὸς ἴουλος·
ἀλλ' ἔτι κοῦρος ἔην, πολὺ δ' ἦν δάμεν ἡρακλῆι·
οὗτοι μὲν ποτὶ νῆα· καὶ ἐς λόχον ἠγερέθοντο·
καί ῥα οἱ ἄλλοθεν ἄλλος ἐκέκλετο, ἠδ' ἀγορᾶε
δεῖπνα δ' ἐπορσύνοντο πολυξένοιο τραπέζης·
Αὐτὰρ ἐπεὶ σίτοιο ποτοῦ θ' ἅλις ἔπλετο θυμός·
ἥμεροι ἐξῆς πόθεεν μέγα ἔργον ἕκαστος·
ἀμπάντες δ' ἅμα πάντες ἀπὸ ψαμάθοιο βαθείης,
ἠιὸν ἔνθα τέμιμνεν ὑπὲρ ψαμάθου ἁλίναιας·
τὴν ῥα ποτ' ἐσορόωντες ἐθάμβεον, αὐτὰρ ἔπειτα
ἄργος ἐφημοσύναις ἰμὸν πόρσυνεν ὀχλίζειν,
δουρατέαισι φάλαγξι· καὶ εὐστρέπτοισι κάλωσι·
πρυμνόθεν ἀρτήσας· κάλεεν δ' ἐπὶ μόχθον ἱκάνειν
πάντας κυδάνων· οἱ δ' ἐσσυμένως ὑπάκουσαν,
τάχεα δ' ἐκδύοντο περὶ στέρνοισι δ' ἀνῆπτον
σφραίνην μάρινθον· ἐπέβριθεν δὲ ἕκαστος,
ὦψα θοὸν ποτὶ κῦμα κατειρύσαι εὔλαλον ἀργώ
ἡ δέ οἱ ἐγχριφθεῖσα ποτὶ ψαμάθῳ βεβάρητο·

ἀναλέοις ψυχέεσσιν ἐρυκομένη ποτὶ χέρσῳ.
ἡρώων παλάμῃσιν ὑπὸ στιβαρῇσιν ἀπειθής.
παχνώθη δ' ἂν θυμὸς Ἰάσονος· αὐτὰρ ἔμοιγε
νεῦσεν ὀπιπεύων ἵνα οἱ θάρσος τεθίην τε,
μολπῇ ὑφ' ἡμετέρῃ κεκμηκόσιν αἰὲν ὀρίνω.
Αὐτὰρ ἐγὼ φόρμιγγα τιτηνάμενος μετὰ χερσί,
μητρὸς ἐμῆς ἐκέρασσ' ὁμοῦ τερπέα κόσμον ἀοιδῆς.
καί οἱ ἀπὸ στηθέων ὄπα χάριον ἐξελόχευσα.
ἔξοχον ἡρώων μινυήιον αἷμα γενέθλης.
ἀλλ' ἄγε νῦν στερροῖσιν ὑπὸ στέρνοισι κάλωας.
βρῖσα θ' ὁμορροθέοντες, ἐρείσατε δ' ἴχνια γαίῃ.
ταρσοῖσι ποδὸς ἄκρον ὑπερβλήδην τανύσαντες.
καὶ χαροπὸν ποτὶ χεῦμα γεγηθότες ἕλξατε νῆα.
ἀργὼ πάχνῃσιν τ' ἰδὲ δρυσὶν γομφωθεῖσαν.
αἰὲν ἐμῆς ἐμοπῆς, καὶ γὰρ πάρος ἔκλυες ἤδη.
ἡνίκα δένδρε' ἔθελγον ἐν ὑλήεντι κολώνῃ.
πέτρας τ' ἠλιβάτους. καί μοι κατὰ πόντον ἔβαινες.
οὔρεα προλιποῦσα. ἐπίσπεο δ' αὖτε θαλάσσης
παρθενίης ἀτραπούς. ἀπέρχου δ' ἐπὶ πᾶσιν ἀμείψον
ἡμετέρῃ πίσυνος κιθάρῃ, καὶ θεσκέλῳ ὀμφῇ.
δὴ τότ' ἐπιβρομέουσα τομαρίας ἔκλυε φηγός.
ἥν οἱ ὑπορροπίην ἄργος θέτο νηὶ μελαίνῃ.
παλλάδος ἐννεσίῃσιν. ἀνηέρθη μάλ' ὦκα,
δούρατ' ἐλαφρίζουσα. βοῇ δ' ὠλίσθανε πόντῳ.
καί οἱ ἐπειγομένη θαμινὰς ἐκέδασσε φάλαγγας.
αἵ οἱ ὑποτρόπι κεῖντο μιᾶς σχοίνοιο ταθεῖσαι.
ἐν δ' ἄρ' ἔβη λιμένος χαροπὸν δ' ἀνέχασσα τὸ κῦμα.
θῖνες δ' ἀμφέκλυθεν. ἐγήθει δὲ φρένας ἰήσων,

ἆλτο δ' ἔσω νεὸς ἄργος, ἐφέσσατο δ' ἀγχόθι τίφυς.
καὶ οἱ ἐπ' ἄρτια θῆκαν ἀρηρότα πορσύνοντες.
ἱστόν τ' ἠδ' ὀθόνας. ἐπὶ δ' αὐτοῖς κάλως ἔδησαν,
πρυμνόθεν ἀρτήσαντες ἐπεσφίγξαντο δ' ἱμᾶσιν.
Αὐτὰρ ἔπειθ' ἑκάτερθεν ἐρετμοὺς ἠπλώσαντο.
ἐς βαιὴν δ' ἐκέλον ἐπειγομένους μινύας.
τοῖσι δ' αἰσονίδης ἔπεα πτερόεντα προσηύδα.
κέκλυτέ μοι βασιλῆες ἀμύμονες, οὐ γὰρ ἔμοιγε
ἀνδάνει ἐν πραπίδεσιν, ἀρειοτέροισιν ἀνάσσειν.
ὑμεῖς δ' ὅντιν' ἄρα κραδίη θυμός τε μενοινᾷ,
ἡγεμόνα στήσασθε. καὶ ὧ περὶ πάντα μελήσει,
σημαίνειν ὅττι κεν ῥέξαι ἔπος ἠδὲ καὶ ἔργον.
πόντον ἐπιπλώουσιν ἀφιξομένοις τ' ἐπὶ γαῖαν,
εἴτε καὶ ἐς κόλχους, καὶ ἐς ἀλλοδαποὺς ἀνθρώπους.
καὶ γὰρ δὴ μοῦνοι σὺν ἐμοὶ πολέες τε καὶ ἐσθλοί,
οἳ ῥα καὶ ἀθανάτου ῥίζης γένος εὐχετάασθε,
ξυνὸν ἀνκράψασθε πόνων κλέος. ὄφρ' ἂν ἄρησθε.
ἀλλ' οὐ δὴ κάρτιστον ἀρειότερόν τε γενέσθαι
ἡρακλῆος ἄνακτος οἴομαι. ἴστε καὶ αὐτοί.
Ὣς ἔφατ'. οἱ δ' ἄρα πάντες ἐπήνεον ἐν δ' ἄρα φωνῇ.
λαὸς ἐπερρόθεεν, μινύαις ἐπὶ κοίρανον εἶναι.
ἀλκείδην. ὃς πᾶσι μέγ' ἔξοχος ἦεν ἑταίροις.
ἀλλ' οὐ πεῖθον ἄνακτα πεπνυμένον. ὅς ῥά οἱ ἤδη,
ἥρης ἐν μεσίῃσι τετιμένον αἴσονος υἱόν.
ὡς δή οἱ κλέος ἐσθλὸν ὀπισσομένοισιν ὀπάζειν.
ὅς τότε γ' αὐτὸς ἔνισπεν, ἰήσονα κοίρανον εἶναι.
πεντήκοντ' ἐρέταισιν, ἅμα τρεφερήν τε καὶ ὑγρῶ.
καὶ τότε δὴ μάλα πάντες ἐπήνεον ὡς ἐκέλευεν

ἡρακλέης. καὶ θῆκαν ἰήσονα κοίρανον εἶναι
ἦμος δ' ἠέλιος τὸν ἀσπέριτον αἰθέρα τέμνων,
ἵπποις ὠκυπόδεσσι κελαινὴν ἔντυε νύκτα.
τῆμος ἐνὶ πραπίδεσσιν ἐμήτιεν αἴσονος υἱός.
πίστιν ἐφ' ἡρώεσσι καὶ ὅρκια συνθεσιάων Το
θέσθαι. ὄφρ' ἔμπεδα πάντα φυλασσόμενοι πεπίθοιν
καὶ τότε τοι μουσαῖε φίλον τέκος ἀντιοφήμου,
πορσύναι μ' ἐκέλευε θοῶς ἱερήια καλά.
Αὐτὰρ ἐγὼ ψαφαραῖσιν ἐπ' ἠιόνεσσιν ἔνηκα.
κᾶλα τὰ τ' ἐκ δρυὸς ἐστὶ φερεσβίου ἐν δ' ἄρ' ὕπερθε.
πέπλω παρκατέθηκα θεοῖς ἐπινήχυτα δῶρα.
καὶ τότε δὴ κραντῆρα βοῶν περιμυκέα ταῦρον.
σφάζον ἀνακλίνας κεφαλὴν εἰς αἰθέρα δῖαν.
ζωοτάμνων περὶ δ' αἷμα πυρὶ χέον ἔνθα καὶ ἔνθα
Αὐτὰρ ἐπεὶ κραδίην θραύσας ποπάνοισιν ἔθηκα
λείψας ὑγρὸν ἔλαιον, ἐπ' αὐτῷ δὲ γλάγος ἀμνῆς.
ἥρωας δ' ἐκέλευσα περισταδὸν ἀμφιχυθέντας.
δουρατ' ἐπαμπήξασθαι ἰδ' ἄορα κωπήεντα.
βύρσην τε πλαΐσχνοισιν ἐρειδομέναις παλάμησι.
θῆκα δ' ἄρ' ἐν μέσσω τεῦχος κυκεῶνος ἐρείσας
ὀστράκεον. τῷ πάντα περιφραδέως ἐμέμικτο.
δήμητρος μὲν πρῶτα φερέσβιος ἀλφίτου ἀκτή.
αἷμα δ' ἐπὶ ταύροιο. θαλάσσης θ' ἁλμυρὸν ὕδωρ
στέψασθαι δ' ἐκέλευσα κύκλους ἐρόεντας ἐλαίης.
καὶ τότε χρυσείην φιάλην χείρεσσιν ἐμαῖσιν.
ἀμπλήσας κυκεῶνος, ἐφεξείης ἐπένειμον.
γάειν ἄνδρα ἕκαστον ἐριοθενέων βασιλήων.
πυρκαϊὴν δ' ἐκέλευον ἰήσονα λαμπάδα θέσθαι

πάκης ἀζαλέης ὑπὸ δ' ἔδραμε θεσπεσίη φλόξ.
δὴ τότ' ἐγὼ πρὸς χεῦμα πολυφλοίσβοιο θαλάσσης
χεῖρας ἐπαντείνας, τάδ' ἀπὸ γλώσσης ἀγόρευσα.
ὠκεανοῦ μεδέοντες ἀλικλύστοιό τε πόντου,
ἐμβύθιοι μάκαρες. καὶ ὅσοι ψαμαθώδεας ἀκτὰς
ναίετ' ἀλικροκάλους, καὶ τηθύος ἔσχατον ὕδωρ.
νηρέα μὲν πρώτιστα καλῶ πρέσβυστον ἁπάντων.
ἅμ μίγα πεντήκοντα κόραις πάσεσιν ἐρανναῖς.
γλαυκὴν δ' ἰχθυόεσσαν ἀπείριτον ἀμφιτρίτην,
πρωτέα καὶ φόρκυνα, καὶ εὐρυβίην τρίτωνα.
λαιψηροὺς τ' ἀνέμους, αὔραις μίγα χρυσεοτάρσοις.
ἄστρα τε τηλεσίφαντα. καὶ ἀχλύα νυκτὸς ἐρεμνῆς
αὐγήν τ' ἠελίοιο ποδῶν προποδηγέτιν ἵππων,
δαίμονας εἰναλίους τε μίγα ζομένους ἥρωσιν.
ἀκταίους τε θεοὺς, ποταμῶν θ' ἀλιμυρέα ῥεῖθρα.
αὐτόν τε κρονίδην σεισίχθονα κυανοχαίτην,
κύματος ἐκ προθορόντα, μολεῖν ἐπιτάρροθον ὅρκων
τόφρα μὲν ὄφρ' ἐπίκουροι ἰάσονος ἔμπεδον αἰεὶ
μίμνωμεν πρόφρονως ξυνῶν ἐπαρηγόνες ἄθλων,
ζωοὶ νοστήσωμεν ἕα πρὸς δώμαθ' ἕκαστος.
ὃς δέ κε συνθεσίης δηλήσεται οὐκ ἀλεγίζων
ὅρκον ὑπερβάσιον, τούτου δ' ἐπιμάρτυροι ἔστων,
θεῶν τ' ἐκδίκη, καὶ ἐρινύες αἱμοδότειραι.
ὣς ἔφαμεν, οἱ δ' αὖτις ὁμοφροσύνην κατένευσαν,
ὅρκια δ' ἀμείβοντες. ἐσημήναντο δὲ χερσίν.
αὐτὰρ ἐπεὶ ὄμοσάν τε τελεύτησάν τε τὸν ὅρκον,
δὴ τότε νηὸς ἔβης κοῖλον κύτος εἰσεπέρησαν,
πάντες ἐφεξείης. ὑπὸ δὲ ζυγὰ ταχέ' ἔθεντο,

χεῖρας ἐρετμώσαντες, ἐκέκλετο δ' αὐτόθι Τῖφυς
ἐκταδίοις ὅπλοις δῆσαι παρὰ κλίμακα μακρὴν
ἱστία δ' ἀπλῶσαι· λιμένος δ' ἐκπείσματα βεῖσθαι
καὶ τότε δὴ λιγὺν οὖρον ἐπιπροέηκε νέεσθαι.
Ἥρη Ζηνὸς ἄκοιτις· ἐπείγετο δ' ἐς πλόον Ἀργώ
οἱ δ' ἄρ' ἐπ' εἰρεσίην ἔπεχον χεῖρας τε νόοντε
ἄκμητοι βασιλῆες· ἐτέτμετο δ' ἄσπετος ἅλμη·
ἀφροῦ ἀμ' οἶδαίνοντος ὑπὸ τρόπιν ἔνθα καὶ ἔνθα·
τῆμος δ' ἱερὸς ὄρθρος ἀπ' ὠκεανοῖο ῥοάων
ἀντολίας ἤνοιγεν, ἐπέσπετο δ' ἠριγένεια,
ἡ δὺ φάος θνητοῖσι καὶ ἀθανάτοισι φέρουσα·
καὶ τότε δὴ σκοπιαί τε καὶ ἠνεμόεντα κολώνη,
πηλίου ὑλήεντος ἀπ' ἠιόνος κατέφαινε·
τῖφυς δ' ἀμπαύσας διοπῆς οἰήια χειρὸς
τυτθὸν ὑπ' εἰρεσίησιν ἐκέκλετο κῦμα χαράσσειν,
καὶ ῥαθοὺς ἀκτῆσιν ὑπέδραμον ἐκ δ' ἄρα νηὸς
κλίμακα δουρατέην λιμένων ἔντοσθε χάλασσαν·
ἐκ δ' ἔβαν ἥρωες μινύαι· παύσαντο δὲ μόχθου·
Τοῖσι δὲ μύθων ἦρχεν ὁμιλαδὸν ἱππότα πηλεύς,
ὦ φίλοι· ἀθρῆτε σκοπιῆς προύχοντα κολωνόν,
μέσσῳ ἐνὶ πρηῶνι κατάσκιον ἔνθα δὲ χείρων
ναίει ἐνὶ σπήλυγγι δικαιότατος κενταύρων·
οἳ τράφον ἐν φολόῃ, πίνδου τ' αἰπεινὰ κάρηνα
ὅς ῥα δικασπολίῃ μέλεται καὶ ἀκέσμασι νούσων
ἄλλοτε δ' αὖ φοίβου κιθάρην μετὰ χερσὶν ἀράσσων,
ἢ λιγυρὴν φόρμιγγα χελυκλόνον ἑρμάωνος·
πᾶσι περικτιόνεσσι δικασπολίας ἀναφαίνει
τόφρα καὶ ἡμέτερον κοῦρον θέτις ἀργυρόπεζα·

νήπιον ἀρτιγένεθλον ἐν ἀγκαλίδεσσι λαβοῦσα,
Πήλιον εἰνοσίφυλλον ἔβη· Χείρωνι δ' ἔδωκεν
ὥς μιν ἐπισταμένως ἀναπαζέμεν, ἠδ' ἀτιτάλλειν·
ἐνδήμοι πόθος ἐστὶ περὶ φρένα θηήσασθαι·
ἀλλὰ φίλοι πελάσωμεν ἐπὶ σπέος ὄφρα ἴδωμεν·
ἕξιν παιδὸς ἐμοῖο, καὶ ἤθεσιν οἷσι κέκασται·
ὧς φάμενος ἐξῖκεν ἀταρπιτόν· οἱ δ' ἑπόμεσθα·
αὐτὰρ ἐπεὶ σπέος αὐλῶν ἐσήλθομεν ἠεροειδῆ,
καὶ προκεκλιμένος μὲν ἐπ' οὐδαίοιο χαμεύνης
κεῖτο μέγας Κένταυρος· ἀπηρήρειστο δὲ πέτρῃ,
ἱππείαισιν ὁπλαῖσι ταννυσάμενος θοὰ κῶλα·
ἀγχοῦ δ' ἱστάμενος Θέτιδος καὶ Πηλέος υἱός,
χερσὶ λύραν ἤρασσε· φρένας δ' ἔτερπε τὸ Χείρων·
ἄλλοτε δ' ἤρ' ἀθρήσειεν ἀγακλειτοὺς βασιλῆας·
ἀσπασίως ἀνόρουσε· κύσεν δ' ἄρα φῶτα ἕκαστον·
δαῖτα τ' ἐπόρσυνεν· μέθυ δ' ἀμφιφορεῦσι κόμιζεν
ῥωγαλέας τ' ἔστρωσεν ὑπὸ στιβάδεσσι πέτηλα· ς
κλινθῆναι δ' ἐκέλευσεν, ἀδαιδάλτοις δ' ὑπὸ πλαγκταῖς
κρέα χύδην προὔθηκε συῶν ἐλάφων τε ταχειῶν·
Αὐτὰρ ἐπεί τε πέμψε ποτὸν μελιηδέος οἴνου·
ἀλλ' ὅτε δὴ δόρποιο ποτοῦ θ' ἅλις ἔπλετο θυμὸς·
χερσὶν ἐπικροτέοντες ὁμόκλεον, ὄφρ' ἂν ἔγωγε
δηρίσω Χείρωνι διωλύγιον κιθαρίζων·
ἀλλ' ἐγὼ οὐ πειθόμην, περὶ γάρ με ἐπήλυθεν αἰδώς
ὁπλότερον γεγαῶτα γεραιτέρῳ ἰσοφαρίζειν
μέσφ' αὐτὸς Χείρων ἐλιλαίετο καὶ μ' ἀέκοντα
ἠνώγει, ἄδων ἐριδαινέμεν εἵνεκα μολπῆς
πρῶτος δ' αὖ Κένταυρος ἀείρατο πηκτίδα καλὴν

ἥν ῥα τότε χείρωνι φέρων ὤρεξεν ἀχιλλεύς·
ὃς δ' ἄρ' ἀέθλε μάχῃ κενταύρων ὀβριμοθύμων·
οὓς λαπίθαι κατέπεφνον ἀτασθαλίης ἕνεκα σφῶν
ἠδ' ὡς ἡρακλῆι καταντία μαιμώοντες,
ἐν φολόῃ δήρισαν, ἐπεὶ μένος οἴνου ἔδερεν·
Αὐτὰρ ἐγώ γε μετ' αὐτὸν ἑλὼν φόρμιγγα λίγειαν,
ἐκ στόματος μελίγηρυν ἱεὶς ἀγέπεμπον ἀοιδήν·
πρῶτα μὲν ἀρχαίου χάεος μελανήφατον ὕμνον·
ὡς ἐπάμειψε φύσεις, ὥς τ' οὐρανὸς ἐς πέρας ἦλθε·
γῆς τ' εὐρυστέρνου γένεσιν, πυθμένα τε θαλάσσης·
πρεσβύτατόν τε καὶ αὐτοτελῆ πολύμητιν ἔρωτα
ὅσσα τ' ἔφυσεν ἅπαντα· διέκριθεν δ' ἄλλον ἀπ' ἄλλου·
καὶ κρόνον αἰνολέτην· ὥς τ' ἐς δία τερπικέραυνον
ἤλυθεν ἀθανάτων μακάρων βασιλήιος ἀρχή·
μέλπον θ' ὁπλοτέρων μακάρων γένεσίν τε κρίσιν τε
καὶ βριμοῦς βάκχοιο· γιγάντων τ' ἔργ' ἀΐδηλα·
ἀνθρώπων δ' ὀλιγοδρανέων πολυεθνέα φύτλην,
ἤειδον· στεινὸν δὲ διὰ σπέος ἤλυθεν αὐδὴ·
ἡμετέρης χέλυος μελίχρω ὄπα γηρυούσης·
ἔστατο δ' ἄκρα κάρηνα καὶ ἄγκεα δενδρήεντα
πηλίου· ὑψηλάς τε μετὰ δρύας ἤλυθε γῆρυς·
καὶ ῥ' αἳ μὲν πρόρριζοι ἐπ' αὔλιον ἐθρώσκοντο·
πέτραι τ' ἐσμαράγουν· θῆρες δ' ἀΐοντες ἀοιδῆς,
σπήλυγγος προπάροιθεν ἀλυσκάζοντες ἔμιμνον·
οἰωνοί τ' ἐκύκλωσαν τὸ βουαύλια κενταύροιο,
ταρσοῖς κεκμηῶσιν· ἑῆς δ' ἐλάθοντο καλιῆς·
Αὐτὰρ ὁρῶν κένταυρος ἐθάμβεε· χειρί τε καρπῷ

πυκνὸν ἐπισσείων· οὖδας δ' ἤραξεν ὅπλῃσι·
Τῖφυς δ' εἰσεπέρησεν ἕως ἄπο, καὶ ῥ' ἐκέλασσεν
ὦκα παρὰ μινύαισιν, ἐγὼ δ' ἄμπαυον ἀοιδῆς·
οἱ δὲ, θοῶς ἤγερθεν· ἔντυνε δὲ τεύχε' ἕκαστος·
παῖδα δ' ἐν ἀγκαλίδεσσιν ἐνίσχανεν ἱππότα πηλεὺς
καί ῥ' ἔκυσεν κεφαλήν τε· καὶ ἄμφω φάεα καλὰ·
δακρυόεν γελόων· κηλήθη δὲ φρένας ἀχιλλεύς·
Αὐτὰρ ἐμοὶ κένταυρος ἐῇ γέρας ὤπασε χειρὶ
νεβρὴν παρδαλέην ξεινήιον ὄφρα φέροιμι·
ἀλλ' ὅτε δὴ σπήλυγγος ἄπο προθορόντες ἔβημεν
ἄκρης ἐκ σκοπιῆς ὁ γέρων ἀνὰ χεῖρας ἀείρων,
φιλλυρίδης ἠρᾶτο, θεοὺς δ' ἐπεκέκλετο πάντας
νόστον μὲν μινύαισιν· ἰδὲ κλέος ἐσθλὸν ἀρέσθαι·
ὁπλοτέροις βασιλεῦσι καὶ ἐσσομένοις μερόπεσσιν·
Αὐτὰρ ἐπεί τ' ἐπὶ θῖνα καὶ ἐς νέα πάντες ἔβησαν
ἐν προτέροις θώκοισι καθίζανον· ἐν δ' ἄρ' ἐρετμοῖς
χεῖρας ἐφαπλώσαντες, ἐπὶ ῥ' ἅλα τύπτον ἕκαστος
σπήλιον ἐκνεύσαντες, ὑπὲρ μέγα λαῖτμα τε πόντου
ἀφρὸς ἐπιζείων χαροπὴν λεύκαινε θάλασσαν·
πεισαίη δ' ἀπέκρυφθεν ἄκρη καὶ σηπιὰς ἀκτὴ·
φάνθη δὲ σκίαθος· δόλοπος τ' ἀνεφαίνετο σῆμα
ἀγχίαλός θ' ὁμαλὴ ῥεῖθρον θ' ἁλιμυρὲς ἐναύλου·
ὃς διὰ πολλὴν γαῖαν ἵει μεγαλόβρομον ὕδωρ·
οὐλύμπου δὲ βαθυσκοπέλου πρηῶνας ἐρυμνούς,·
εἰσέδραμον μινύαι· καὶ ἄθωδεν δρώδεα κάμψαν
πελλήνην τ' εὐρεῖαν· ἰδὲ ζαθέην σαμοθρήκην·
ἔνθα καὶ ὄργια φρικτὰ θεῶν ἄρρηκτα δὲ βροτοῖσιν
ἄσμενοι εἰσεπέρησαν ἐμῆς ὑποθημοσύνῃσιν

ἥρωες· μετὰ γάρ σφιν ὀφέλσιμον ἀνθρώποισι·
τῆς δὲ θυηπολίης ἄμοτον πλωτῆρσιν ἕκαστος·
σιντιακαῖς δ' ὀφρύσιν ἐκέλσαμεν ὠκύαλον ναῦν,
λήμνῳ ἐν ἠγαθέῃ· τόθι περ κακὰ ἔργα μεμήλει
θηλυτέραις· αἳ γάρ κεν ἀϊστώσαντο συνεύνους
σφῇσιν ἀτασθαλίῃσι· καὶ ἠλύτῃ ὑψιπύλεια
ἑλδομέναις κραίνεσκε· γυναικῶν εἶδος ἀρίστη·
ἀλλὰ τί σοι περὶ τῶν δὲ πολὺν λόγον ἀμφαδὸν εἴπω
ὅσσον ἐφ' ἥμερον ὦρσεν ἀγαυαῖς λημνιάδεσσιν·
κύπρις ἐρωτοτρόφος μινύαις εἰς λέκτρα μιγῆναι·
φίλτροις ὑψιπύλῃ ἐρατοῖς ἐδάμασσεν ἰήσων,
ἄλλῃ δ' ἄλλος ἔμικτο· καὶ ἐκλελάθοντο πορείης
εἰ μὴ ἀποτροπίοις ἐμοπαῖς θελξίφρονι θυμῷ·
ἡμετέρῳ θελχθέντες ἔβαν ποτὶ νῆα μέλαιναν,
φρεσίν ποθέοντες ἐπεμνήσαντο δὲ μόχθου·
ἦλθεν ἐς ἑλλήσποντον ἅμ' ἠῶος φέρεν οὖρος·
ἀκραὴς ζέφυρος· σφῆς ἀπάτερθεν ἀβύδου·
ἴλιον δαρδανίω πιτην ἐπινύδεξιον ἔχοντας·
οὗ καὶ ἀβορνιάδας, περκώτης τ' εὔσταχυν αἶαν
ἀργυρέας αἰσήπος ἐπικλύζει προχοῇσιν
αἶψα δ' ἐπιθρώσκουσα θέεν πολυηγόρος ἀργώ·
Αὐτὰρ ἐπεὶ ψαμάθοισιν ἐκέλσαμεν, ἐν δ' ἄρα τῖφυς
ἰθύντωρ ἀκάτοιο καὶ ἀγλαὸς αἴσονος υἱός,
σὺν τ' ἄλλοι μινύαι, γλαυκώπιδι τριτογενείῃ,
θῆκαν ἀείραντες βριθὺν λίθον, ἔνθα δὲ νύμφαι
κρήνην ὑπ' ἀρτακίην καλὰ νάματα πλημμύρουσιν
οὕνεκά οἱ πλώουσιν ἀνὰ πλατὺν ἑλλήσποντον·
εὔδιος ἀντεβόλησε μυχοῦ ἔντοσθε γαλήνη·

οὐδ' εἰς γαῖαν ἔριψαν εὐγνάμπτους ἀγκύρας.
κύμασι θελγόμενοι ὑπὸ χειμερίοισιν ἀήταις.
ἐνθάδε προσύνοντες ἐπὶ κροκάλαις προυχούσαις
δεῖπνά τε καὶ κλισίην, δόρπου μεμνήμεθ' ἕκαστοι.
δὴ τότε κεκλιμένοισιν ἐπήλυθε κύζικος ἥρως.
ὃς Δολόπων ἤνασσε περικτιόνων ἀνθρώπων
αἰνῆος φίλος υἱός. ὃν οἱ τέκε δῖα γυναικῶν.
εὐδώρου θυγάτηρ ἀμίπη καλλιπάρηος.
ὅς ῥα φίλος ξεινὴ μινύας ἐγέρηρεν ἅπαντας.
σφάζων πῖά τε μῆλα, καὶ εἰλίποδας ἕλικας βοῦς.
ἀγροτέρους τε σύας. δῶκεν δ' ἐπὶ οἶνον ἐρυθρόν.
σῖτον δ' ἄφθονον ἧκεν ἀποπλώουσι φέρεσθαι.
χλαίνας τ' ἠδὲ τάπητας εὐννήτους τε χιτῶνας.
φίλετο δ' αὖ παρεόντας ὁμηλικίης ἕνεκα σφῆς.
καὶ ῥὰ παννημερίοισιν ἐν εἰλαπίναισιν ὅμαρτεν.
καὶ ῥὰ παννημερίοισιν ἐν εἰλαπίναισιν ὅμαρτεν
ἀλλ' ὅτε γ' ὠκεανοῖο ῥόον βαπτίζετο τιτὰν
μήνη δ' ἀστροχίτων ἐπάγεν μελαναυγέα ὄρφνην
τῆμος ἀρηΐφατοι κίον ἀνέρες οἵ ῥ' ἀνέμοντο
ἀρκτώοις ἐν ὄρεσσι τε θηπότες ἴκελα θηρσὶ
τιτᾶσι βριαροῖς τ' ἐναλίγκιοι. ἠδὲ γίγασιν.
ἓξ γὰρ χεῖρες ἑκάστῳ ἀπ' ὤμων ἀΐσσοντο
οὓς τότε σαθρήσαντες ἀμαιμάκετοι βασιλῆες
ἐσμόθον ὁρμαίνοντες ἀρήια. τάχ' ἔδωον
καὶ ῥ' οἱ μὲν πάκησιν ἀμύνοντο, οἱ δ' ἐλάτησιν
ἐνδ' ἔπεσαν μινύαισι κατὰ σκοτόεσσαν ὁμίχλην.
οὓς τοι ἐπερχομένους κτεῖνεν Διὸς ἄλκιμος υἱός.
τόξῳ ὀϊστεύων. σὺν δ' αὖ νέον ὤλεσε παῖδα
κύζικον. οὔ τι ἑκών, ἀλλὰ φραδίῃσι πεδηθείς Βii

τῷ δ' ἄρα μόρσιμον ἦεν ὑφ' Ἡρακλῆϊ δαμῆναι·
αἶψα δὲ οἱ μινύαι, κοίλης ἔντοσθεν ἔβησαν
νηὸς τὰ χήρας, ποτὶ· δὲ ζυγὸν ἵζον ἕκαστος·
Τῖφυς δὲ, πρύμνηθεν ἐπήπυεν· ἡ δ' ἐκέλευε
κλίμακα νηὸς ἔσω ἐρύσαι· καὶ πείσματα λῦσαι·
ἀλλ' οὐ γὰρ λύοντο κάλοι· δεσμοῖσι δ' ἀφύκτοις
ὠκέης στροφάλιγγος ἀρηρότες ἐσφίγγοντο
νῆα κατείργοντες· θάμβησε δὲ Τῖφυς, ἀμύμων·
ἄφθογγος δέ οἱ ἧκε χερῶν, οἰήια νηὸς
ἀργῴης· οὐ γάρ γε ἔελπετο κῦμα περῆσαι·
ῥέη γὰρ κοτέεσκε δεδουπότος εἵνεκα λαοῦ·
ἀλλ' ὅτε πρὸς μέσατον νυκτὸς προὔβαινεν ἀταρπὸς
ἄστρα τε τηλεφανῆ δῦεν ῥόον ὠκεανοῖο·
ὅστε κυβερνήτη προσεπέστιχε νήδυμος ὕπνος,
τῷ δὲ βαθὺ κνώσσοντι θεὰ μενέδουπος ἀθήνη,
ἀγχὶ παρισταμένη παρετήτυμα σύματ' ἔφαινεν·
ὧδε δ' ὁμοκλήσασα θεηγόρον ἔννεπε μῦθον·
εὕδεις ἀγνιάδη γλυκερῷ βεβολημένος ὕπνῳ·
κῶμα περὶ βλεφάροισι βαλών, ἀλλ' ἔγρεο Τῖφυ·
κέκλεο δ' ἡρώεσσι μολεῖν ἐπὶ νήνεμον ἀκτὴν
νηὸς ἀποπρυθορόντας· ὅθι ξένος ἐν ψαμάθοισι·
κεῖται ἀποφθίμενος, τῷ οἰκτέρεα κτερεΐξαι
παμμήτειρα ῥέη κέλεται γέρα· ἠδ' ἔτε λοιβὰς·
δοῦναι ὑποχθονίοισι· καὶ δάκρυα λείβεμεν ὄσσων·
ἀδομένους θέμιν ἀγνοτελῆ ξενίην τε τράπεζαν·
ὃν ῥα ἑκὼν ἔκτανε βαλὼν διὰ νύκτερον ὄρφνην
Ἡρακλέης· θυμὸν δὲ θεᾶς ἐχολώσατο ῥέης·
ἀλλ' ὁπόταν θεσμοῖς ξεῖνον σεβάσητε θανόντα·

Δίνδυμον αὐτίκ' ἔπειτα ῥέξας ἕδος εἰσαναβάντες.
ἱλασμοῖς ἱεροῖς γαίης ἀρέσθε θύγατρα.
πείσματα δ' ἀράμενοι τότε δὴ μνώεσθε πλόοιο.
ὣς εἰποῦσα θεὰ πάλιν ἐτράπετ' ἶσον ὀϊστῷ.
οὐρανὸν ἐσσυμένη. τοὶ δ' αὐτίκα κῶμ' ἐκεδάσθη.
πρύμνης δ' ἆλτο θοῶς ἀνέγειρε δὲ λαὸν ἀυτῇ
τοίχων ἔνθα καὶ ἔνθα παρακλιδὸν ὑπνώοντας
ψυχῇ ὑποτρομέων, ἄφαρ ἡρώεσσι δ' ὀνείρου.
φάσματα πᾶσιν ἔνισπεν. ἐπιδρομάδην ἀγορεύων
οἱ δέ, θοῶς ἤγερθεν, ἐπ' ἠιόνα δ' ἆλτο ἕκαστος,
ἡ δέ, κατ' ὀρφναίοιο πόλου χρυσήνιος ἠώς,
ἀντολίην ἤνοιγεν. ἐδέχνυτο δ' οὐρανὸς ὄρθρον
καὶ τότ' ἀριστῆες μινύαι νέκυν εἰσενόησαν
αἵματι καὶ κονίῃ πεπλαγμένον, ἀμφὶ γὰρ ἄλλοι
δήιοι ἀμφὶς ἔκειντο πελώρια σώματα θηρῶν
ἄλλοι μέν, βασιλῆα περισταδὸν ἀμφιχυθέντες
κύζικον εὐξέστοισιν ὑπὸ πλατέεσσιν ἔθηκαν
ἂν δ' ἄρα τύμβον ἔχευαν. ἐδωμήσαντο δ' ἐσῆμα.
φιτροὺς δ' αἶψα κόμιζον. ἰδ' ἔντομα πορσύνοντες
παμμέλαν' ἐν βόθροις κατεκίαζον αὐτὰρ ἔγωγε
ψυχὴν ἱλασάμην σπένδων μειλίγματα χύτλων
ὕδατι δ' ἠδὲ γάλακτι μελισσορύτων ἀπονασμῶς
λοιβαῖς συμπροχέων καὶ ἐμοῖς ὕμνοισι γεραίρων.
αὐτὸς δ' αἰσονίδης προὔθηκατο πᾶσιν ἄεθλον.
τυμβιδίου ἐπ' ἀγῶνος ἑταίροις ἔμμεν' ἄεθλα.
δῶρα τά οἱ πόρεν ὑψιπύλη λήμνοιο φέρεσθαι.
ἀγκαίῳ μὲν δῶκε πάγης γέρας ἀμφικύπελλον
χρύσεον πολυχανδὲς ἔχειν, πηλῆϊ δ' ἔδωκε

θάσσον τῇ σταδίοισι ποδωκείης ἕνεκα σφῆς.
χλαῖναν φοινικέην πολυδαίδαλον, ἔργον ἀθήνης.
Αὐτὰρ παγκρατίοιο δ' ὄκεν γέρας ἡρακλῆϊ.
ἀργύρεον κρητῆρα παναίολον· ἱπποσύνης δὲ
κάστορι, χρυσείων φαλάρων πολυτεχνέα κόσμον.
πυχμαχίης δὲ τάπητα λίανθέα δῶκε φέρεσθαι.
ἀθλοφόρῳ πολυδεύκει· ὁ γὰρ κλυτὸν ἦν ἀτομικός.
αὐτὸς δ' εὐκαμπὲς τόξον λάβεν ἠδ' ὀϊστούς.
τεινόμενος δέ οἱ ἧκε βέλος τὸ δ' ἀπέπτατο τηλοῦ.
δῶκε δ' ἀριστονίδῃ μινύης λόχος εἵνεκα τιμῆς.
πλέξας εὐανθῆ στέφανον τανυφύλλου ἐλαίης.
Αὐτὰρ ἐμοὶ μολπῆς γέρας ὤπασε δῖος ἰήσων,
ἐμβάδα χρυσείην γε τιταινομένην πτερύγεσσι.
λῦτο δ' ἀγὼν φήμη δὲ διέπτατο δώματος ἔσω.
κυζίκου οἰχομένου τοῦ δ' ὡς κλύε σύγγαμος αἰνή.
στήθεα δρυπτομένη λίγ' ἐκώκυεν ἀμφὶ δὲ δειρῆς.
ἁψαμένη μήρινθα βρόχῳ ἀπὸ θυμὸν ὄλεσσε.
γῆ δ' ὑποδεξαμένη πλακὶ δάκρυα πίδακος ἧκε.
βλύζουσ' ἀργυροειδὲς ὕδωρ κρήνης ἀπὸ μέσσης,
ἀέναον· κλείνην δὲ περικτίονες καλέουσι.
καὶ τότε δὴ βασιλῆες ὀμφροπόλον διὰ πύσιν
κνημοὺς ἐπὶ ζάθεον· καὶ δίνδυμον ἀκρώρειαν
ὄφρα κε μειλίξαιντο θοινίστοις ἐπὶ λοιβαῖς
ῥείην πρεσβυγενῆ, θυμὸν δ' ἀλέαιντο ἀνάσσης.
Αὐτὰρ ἐγὼν ἑπόμην· φόρμιγγα δὲ μετὰ χερσὶν ἄειρον
ἄργος δ' αὖθ' ἵχανε λιπὼν θεεργία νῆα
ὅσσε τανυφλοίου ἐλάτης ἀμφιπλεχὲς ἔρνος
ἀμπέλου ἀναλέης, ὄζ' ἀπέκερσε σιδήρῳ,

ξέσσε δ' ἐπισταμένως βρέτας ἱερὸν ἰδμοσύνησι
μίμνειν ἔμπεδον αἰὲν, ἐπεσσομένοις ἀνθρώποις.
λάεσσι δ' εὐτύκτοις δωμήσατο οἶκον ἀνάσσῃ.
ἐν δ' ἄρ' ἐπειγόμενοι μινύαι, μέγα δ' ἔξοχα πάντων
αἰσονίδης, λιθάκεσσιν ἀρηρότα βωμὸν ἔταξαν.
ᾧ ἔπι ταυροθύτους λοιβὰς ἠδ' ἱερὰ καλὰ
ῥέξαν ἀριστῆες, σπονδαῖσι δ' ἐτέρπετο ῥέη.
Αὐτὰρ ἔμ' ἤνωγον κλῆσαι θεὸν ἠδὲ γερῆραι.
ὄφρα κεν ἀντομένοις νόστον μελίχια δ' ἐοπάσσοι.
ἄλλοτε δὴ θυέεσσι λιταῖσί τε γουνασάμεσθα
ἀργώην ποτὶ νῆα κατήλθομεν, ἐν δ' ἄρα τῖφυς
ἥρωας πρύμνηθεν ἐκέκλετο, σὺν δ' ἄρα πάντες
ἐσσύμενοι θώκοισιν ἔπι προτέροισι κάθιζον
βάντες ὑπὲρ θώκοιο, καὶ εἰρεσίης μνώοντο.
ἀπροφάτως δ' ἀπὸ γῆς λεπτοὶ λύοντο κάλωες
πείσματα δ' ἠπλώθη· κραιπνὸν δ' ἀπὸ δινδύμου ἀ
ἵκμενον οὖρον ἐφῆκε ῥέη λιπαροκρήδεμνος. κρης
ἡμεῖς δ' αὖτ' ἐπὶ νηῒ γεράσμια πέμπομεν ἱρὰ
βωμὸν ἐπιστέψαντες ἐπεσσομένοισι πυθέσθαι
πείσματα τῆν, τόθι πείσματ' ἐεργομένης λύθεν ἀργοῦς.
Αὐτὰρ ἐπεί τ' ὀθόνας ἀκάτου πλήρωσεν ἀήτης
θῦνε δ' ἴα πρηῶνος ἁλιμυρέα κύματα πόντου
μύσια δ' ἐσχεδόθεν παραμείβετο πείρατα γαίης.
αἶψα δ' ἐρυνδακίους προχοὰς ἤμειψε θέουσα.
καλούς τ' ἐς λιμένας ψαμαθώδεας εἰσεπέρησε
κέλσε δ' ἐπ' αἰγιαλῷ, προτόνοις δ' ἐπὶ χεῖρα βαλόντες
ἱστία μηρύσαντο καὶ ἀμφιμάασιν ἔδησαν
κλίμακα δ' ἐξώκειλαν ἐπὶ χθονός, ἐκ δ' ἔβαν αὐτοί

σίτου καὶ πόσιος λελιημένοι, ἀμφὶ δὲ κνάμος·
ἀργάνθου κατέφαινε βαθυσκόπελοί τε κολῶναι·
ἡρακλέης δ' ἤπειγετ' ἀν' ὑλήεντας ἐναύλους·
τόξον ἔχων παλάμαις· ἰδὲ τριγλώχινας ὀϊστούς·
ὄφρα κε θηρήσαιτο πόροι δ' ἐπὶ δόρπον ἑταίροις
ἢ σύας· ἢ πόρτιν κεραὴν· ἢ ἄγριον αἶγα·
τοῦ δ' ἀφαμαρτήσαντος ὕλας ἐξῆκε τὸ νηός
λάθρα ἐπισπόμενος· σκολιῆς δ' ἀλίτησεν ἀταρποῦ
ὕλῃ ἐνιπλαγχθείς· ἐν δὲ σπέος ἤλυθε νυμφῶν
λιμνακίδων· αἱ δέ σφιν ἐσαθρήσασαι ἰόντα·
κοῦρον ἐπαντίθεον, κατερύκακον ὄφρα σὺν αὐταῖς
ἀθάνατός τε πέλῃ· καὶ ἀγήραος ἤματα πάντα·
ἄλλοτε πρὸς μεσάτην ἠῶ φέρεν ὠκέας ἵππους·
ἠέλιος, κραιπνὸς δ' ἐξ εὔρεος ἔπνεεν οὖρος·
ἐν δ' ἔπεσ' ἀργῴαις· ὀθόναις τῖφυς δ' ἐγεγώνει
νηὸς ἔσω περάαν· θινὸς δ' ἐκ πείσματα λύειν·
οἱ δ' ἐ, κυβερνητῆρος ἐφημοσύναις ἐπίθοντο·
εἰλαπίνης δ' ἀνὰ πρῶνα βοῶς πολύφημος ἔβαινεν·
ὄφρα κεν ἡρακλῆα βοῶς ἐπὶ νῆα καλέσσοι
ἀλλ' οὔ οἱ ξύμβληντο· μολεῖν γὰρ οἱ οὔτι πέπρωτο
φᾶσιν καλλίροον μένος ὄβριμον ἡρακλῆος·
Αὐτὰρ ἐπεὶ ἠῶοι λυγρὴν ἐπεράσσομεν αἶαν
ἔνθ' ἄμυκος βεβρήκεσιν ὑπερφιάλοισιν ἄνασσεν·
ὅς τε πανομφαίου ζηνὸς θέμιν οὐκ ἀλεγίζων
ἆθλον ἐπὶ ξείνοισι περικτιόνων ἀνθρώπων
ὅστις ἐπὶ σταθμοὺς ἠδ' ἀστεμφῆ δόμον ἵξῃ
θήκατο πυγμαχίης ὑπερόπλου πειρηθῆναι·
τὸν μὲν ἄρ' ἤισωσε βίῃ κρατερὸς πολυδεύκης

τύψας ἀπροφάτως κεφαλὴν σκληροῖσιν ἱμᾶσι·
λαοὺς δ' αὖ βεβρύκων μινύαι χαλκῷ κατένηραν.
ἔνθα δ' ἀφορμηθέντες, ὑπ' εἰρεσίῃ δὲ καμόντες
βιθυνῶν μέγα ἄστυ πλατείῃ κέλσαμεν ἀκτῇ·
σπάδοντες προχοαῖς ἠδ' ἐννιφάργεσιν ὕλαις·
ἕσπεροι αὐλισθέντες ἐφοπλισάμεθα δόρπον
ἔνθα τό τ' αἰνόγαμος φινεὺς ὑπερήνορι θυμῷ
δοιοὺς ἐξαλάωσε γόνους προβλῆσί τε πέτραις
θηρσὶν ἑλὼν προὔθηκε γυναίων εἵνεκα φίλτρων·
τοὺς δὲ καὶ ἀσκηθέας ὀπωπότας αὖθις ἔτευξαν·
παῖδε κλυτοῦ βορέου, φινεῖ δ' ἄρα ὤπασαν ἄτην
ἀργαλέοιο κότου, φωτὸς δ' ἀπενόσφισαν αὐγάς·
Αὐτὰρ ἐπεί τα ζαμενὴς βορέης στροφάδεσσιν ἀέλλαις·
ἁρπάξας ἐκύλινδεν ὑπὸ δρυμὰ πυκνὰ καὶ ὕλας
βιστονίης· ἵνα κῆρ ὀλέσῃ καὶ πότμον ἐπίσπῃ·
Αὐτὰρ ἐπεί τα φινῆος ἀγηνορίδαο λιπόντες
αὖλιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης ἐξικόμεσθα·
ἀγχοῦ κυανέας πέτρας· ἅς μοι ποτὲ μήτηρ
ἡμετέρη κατέλεξε περίφρων καλλιόπεια·
οὐ γάρ οἱ ἐξυπάλυξις ὀϊζυροῖο πόνοιο·
ἀλλὰ κατειρυμέναι ἀνέμων ἀργῆσιν ἀέλλαις
ξυμβλῆτες πίπτουσιν ἐπ' ἀλλήλαισιν ἰοῦσαι·
δοῦπος τ' ἂμ πέλαγός τε καὶ οὐρανὸν εὐρὺν ἵκανεν
ῥηγνυμένοιο κλύδωνος· ὀρινομένης τε θαλάσσης
κύματι παφλάζοντι περιβρέμεις ἄσπετος ἅλμη
ἀλλ' ἐγὼ ἀγνϊώδη τὰ δ' ἀπὸ γλώσσης ἀγόρευσα·
πρύμναν ἐπεὶ θυρόειν, ὄφρ' ἂν πεφυλαγμένος εἴη
τοῦδε, καὶ εἰσαΐοντος ἐπαχνώθη φίλον ἦτορ.

ἐν στέρνοισι δὲ κεῖθεν ἃ οἱ τελέεσθαι ἔμελλεν·
μοῦνος ἀφ' ἡρώων· ἀλλὰ γλαυκῶπις ἀθήνη·
ἥρης ἐννεσίῃσιν ἐρωδιὸν ἧκε φέρεσθαι·
ἄκρην ἰσοκεραίαν· ὁ δ' ἀσχαλόων πεπότητο·
πέτρας δ' ἐμμυχάτοισιν ὑπὸ πτερύγεσσιν ἀερθεὶς·
δινεύνται· τὰ δ' αἶψα κραδαινόμεναι ἑκάτερθεν
σύμπεσον ἀλλήλαισι· καὶ οὐρῆς ἄκρον ἔκερσαν
ὄρνιθος· περὶ δ' ἔσφιν ἐτώσιον ἠράσαντο
Τῖφυς δ' ἐκπρολιπόντος ἐρωδιοῦ αἰπὺν ὄλεθρον
σῖγα μὲν ἡρώεσσιν ἐκέκλετο· τοὶ δ' ἀΐοντες
ἱέμενοι βοᾷ κύμαθ' ὑπ' ἐρεσίῃσι χάρασσον·
Αὐτὰρ ἐγὼ μολπῇσι παρήπαφον ἡμετέρῃσι
πέτρας ἠλιβάτους, αἳ δ' ἀλλήλων ἀπόρουσαν
κῦμα δ' ἀνερρόχθησε· βυθὸς δ' ὑπόεικαθ' ἐμῇ
ἡμετέρῃ πίσυνος κιθάρῃ διὰ θέσκελον αὐδήν
ἀλλ' ὅτε δὴ πορθμοῖο κατὰ στόμα καὶ διὰ πέτρας
κυανέας ἤμειψε λάλος τρόπις, αὐτίκ' ἄρ' αἵγε
βυσσόθεν ἐρριζῶντο· καὶ ἔμπεδον αἰὲν ἔμιμνον,
οὕτω γὰρ μοῖραι τὰ δ' ἐπεκλώσαντο βαρεῖαι
καὶ τότε δὴ προφυγόντες ἀδευκέα πήματ' ὀλέθρου
ῥηβαίου προχοαῖσι μέλαιν' ἐξικόμεθ' ἀκτὴν
νήσου ὑπὲρ δολιχὴν θυνηΐδα τῆς ἀπάτερθεν
Τέμβριος ἰχθυόεις θαλεραῖς πλημμύρεται ὄχθαις·
σαγγάριός θ' ὃς κύματ' ἐπιτρέχει ἐξ ἄμοιο
ἀλλ' ὅτε π' αἰγιαλῶν ἐπεμψάμεθ' ἐρεσίῃσιν
ἀμφὶ λύκοιο ῥέεθρον ἐκέλσαμεν, ὧ ἔπι λαοὶ
κρεῖν' ἐ λύκος ποταμοῖο φερώνυμος ὅς ῥ' ὑπέδεκτο
ἥρωας μινύας· ξενίῃ δ' ὑπέδεκτο τραπέζῃ·

φίλετο δ' αὖ νύκτας τε καὶ ἤματα συνεχὲς αἰεί
ἔνθα καὶ αἶσα παρέσχε καταφθίσθαι δύο φῶτας
ἀμπυκίδην ἴδμωνα κυβερνητῆρά τε τῖφυν
τοῦ μὲν, δὴ κατὰ σῶμα λυγρὴ ἠράσατο νοῦσος
τὸν δ' ἔκτανε θὴρ σῦς ἄγριος· αὐτὰρ ὅ τοῖσγε
τύμβους χευάμενοι πολιὴν ἐπένησαν θαλλήν·
ἀγκαίῳ πίσυνοι· τὸν γὰρ φάσαν ἴδριν ἅπαντες
ναυτιλίης· σφετέρῃσι δαημοσύνῃσι κεχᾶσθαι·
Αὐτὰρ πηδαλίων οἰκία λάζετο χειρὶ
νῆα κατιθύνων ἐπὶ παρθενίοιο ῥέεθρα
ὃν δὴ καλλίχορόν μιν ἐπώνυμον οἱ καλέουσιν
ἐν τοῖσι ἰὼ μύθοισιν ἐπὶ προτέροισιν ἔλεξα
ἔνθεν ἄκραν προβλῆτα παραπλώσαντες ἔβημεν
γῆν ἐπὶ παφλαγόνων τὴν δὴ παράμειψε θέουσα
ἀργώ, ὑπὲρ μέγα λαῖτμα καραμβιάκην δ' ἵκετ' ἄ
ἣ ἐνὶ θερμώδων κεῖται, ἅλυός τε ῥέεθρον          κριῶ
βάλλον ἐπ' αἰγιαλὸν δίνας ἁλιμυρέας ἕλκον·
νέρθε δ' ὑποθρώσκουσι βορράδος ἀντίον ἄρκτου
μακρὰ θεμισκύρης βοιαντίδος ἄψεα κεῖται·
ἄγχι δ' ἀμαζονίδων δαμνίππων ἄστεα κεῖται·
καὶ χάλυβες· συνβαρκῶα τ' ἔθνη λαοί τ' ἐπιχάρες
μίγδην ἐν μοσσύνοισι πέδον περιναιετάουσι·
λαιὰ δ' ἐπιπλώσαντες ἐκέλσαμεν αἰγιαλοῖσι·
ᾗχί τε μαῦροι ἔσαν μαριανδούροισιν ὅμουροι
νέρθε δ' ἔτοι ἑλίκης, δολιχὸς παρακέκλιται αὐχὴν
ἔνθα δ' ὑπωρείῃσιν ἐπὶ προβλῆσι κυκλοῦνται
τηλεφανεῖς αὐλῶνες ὑπὲρ μυχὸν εὐρέα κόλπου
οὐ σύμης ὄρος ἐστί, πολύς τ' εὐθαλὴς λειμὼν
ἔνθα δ' ἀράξου ῥεῦμα μεγαβρεμέτου ποταμοῖο

ἐξ οὗ θερμώδων φάσις, τ' ἀμαῒς τερέουσιν·
οὗ κόλχων κλυτὰ φῦλα. καὶ ἡνιόχων, καὶ ἀράξων.
ὃν παραμειβόμενοι μυχάτοις ἐπεπλέομεν ὅρμοις.
οὔρων. χιδναίων τε. χαρανδαίων. σολύμων τε.
ἀσσυρίων. τελέων. γῆν χοὺν δ' ἀγκῶνα σινώπης
καὶ φίλυρας ναέτας τε. καὶ ἄστεα πυκνὰ σαπείρων,
βύζηράς τ' ἐπὶ τοῖσιν. ἰδ' ἄξενα φῦλα σιγύννων.
ἷκτο δ' ὑπὸ πνοιῇς ἀνέμου πλησίστιος ἀργὼ
ὄρθριον ἐρχομένης ἠοῦς ἐπ' ἀπείρονα κόσμον
ἑσπέρ' ἐπ' ἀξείνου φάσιν κατὰ καλλιρέεθρον.
ἀγκαῖος δ' ἥρωσγε παραιφάμενος ἐπέεσσι.
λαίφεά τε στέλλειν, καὶ ἐπ' ἰκρίων αὖθι χαλάσαι.
ἱστὸν ἀνακλίναντας. ὑπ' εἰρεσίῃ δ' ἐλάεσθαι.
Αὐτὰρ ἐπεὶ ποταμοῖο διὰ στόμα πρηὺ ῥέοντος
ἱκόμεθ' αὐτίκ' ἄρα στέφανον καὶ τεῖχος ἐρυμνὸν
αἰήτου κατέφαινε καὶ ἄλσεα. τοῖς ἐπὶ κῶας
χρύσεον ἠώρητο χαλαζαίῃ ἐπὶ φηγῷ
ὡς οἱ μὲν, τὰ ἕκαστα τορκατο, αὐτὰρ ἰήσων.
αὐτίκα μερμήρι κατὰ φρένα καὶ κατὰ θυμόν.
ξυνὴν μὲν μινύαισιν ἀδὼν ἀνενείκατο φωνήν.
ἠέ γ' ἐπ' αἰήταο μόλῃ δόμον οἶος ἀπ' ἄλλων
μειλιχίοις στέρξῃ τε παραιφάμενος ἐπέεσσιν.
ἠὲ μεθ' ἡρώεσσι καὶ ἐς μόθον αὐτίκα λάσσοι
ἄλλους γὰρ μινύαισιν ἐπιώδανε πᾶσι γενέσθαι.
δὴ μάλα δ' ἐνὶ φρεσὶ θῆκε θεὰ λευκώλενος ἥρη,
ἀμβολίην θ' ἵνα δὴ τελέσῃ τά περ ᾦσα γενέσθαι.
ὣς καὶ δ' ἄρ' οὖλον ὄμβρον ἀπ' οὐρανοῦ ἧκε φέρεσθαι
ἑβδόμον αἰήταο. συνθεὶς δ' ὅγε δεῖμα πέλωρον

ἔσκηψεν βασιλῆα περὶ φρένας ὄσσιν ἔδοξε
παρθένον ἥν ἀτίταλλεν ἐνὶ μεγάροισιν ἑοῖσι·
μηδείας κόλποισιν ἐν ἱμερτοῖσι συνθῆναι·
ἀστέρα παμφανόωντα διηερίοιο πορείης·
ἣ δ' ἐπεὶ ἐν πέπλοισι λάβε κεχαρηότι θυμῷ
ἧκε φέρουσ' ἐς χεῦμα εὐρύτου ποταμοῖο
φάσιδος· ἀστέρα δ' αἶψ' ἀναρπάξαντα ῥέεθρον·
οἴχεσθαι πόντοιο δι' ἀξείνοιο φέροντα
ταῦτα δ' ἐσαθρήσας, δολίου ἐξέσυτο ὕπνου·
ἀπροφανὲς στυγερὸν δὲ περὶ φρένας εἵλκετο δεῖμα
ἆλτο δ' ἄρ' ἐξ εὐνῆς· δμωσὶ δέ οἱ ὦκ' ἐπέτελλεν
ἵππους ἐντύνειν ὑπὸ δὲ ζεύξασθαι ἀπήνην·
ὄφρα κε μειλίξαιτο κιὼν ἐπὶ ῥεῖθρον ἐραννὸν·
φάσιν δινήεντα· σὺν ἐνδαπίῃς μέγα νύμφαις·
ψυχάς θ' ἡρώων ὅσσαι περὶ ῥεῖθρον ἄμειβον·
θυγατέρας δ' ἐκέλευσεν ἠώδεος ἐκ θαλάμοιο
χαλκιόπην σὺν πᾶσιν ἀποφθιμένου φρίξοιο·
ἠδ' ἀπαλὴν μήδειαν ἀριπρεπὲς εἶδος ἔχουσαν
παρθένον αἰδοίην· ὄφρ' ἂν συνέποιντο κιόντι·
ἄψορρος δ' ἀπάνευθε δόμους ναίεσκε πόληος·
ἅρμα δ' ἐπὶ χρύσειον ἔβη μέγα θυγατέρεσσιν·
αἰήτης· τὸν δ' αἶψα διὲκ πεδίου φέρον ἵπποι·
χεῖλος ὑπὲρ ποταμοῦ δονακώδεος ἔνθα περ αἰεὶ
εὐχωλὰς ῥείθροισι· καὶ ἱερὰ καλ' ἐκόμιζον,
κείνοισι δ' ὄχθαισιν ὑπόδρομος ἤλυθεν ἀργώ,
καὶ ῥα τότ' αἰήτης ἐσέδρακεν ἐν δ' ἄρα πολλοὺς·
ἑξείης ἥρωας ὁμιλαδὸν ἑδριόωντας
ἀθανάτοις ἰκέλους· περὶ γὰρ ῥά ἑ τεύχεα λάμπε·

Τοῖσι δ' ἄρ' ἐν πάντεσσι μετέπρεπε δῖος ἰήσων·
ἥρη γὰρ περὶ πάντων ἐτίετο· καί οἱ ἔδωκε
κάλλος τε μέγεθός τε καὶ ἠνορέην ὑπέροπλον·
ἀλλ' ὅτε δὴ σχεδὸν ὄντες ἐπ' ἀλλήλοις βάλον ὄσσε·
αἰήτης μίγνυνταί τε περίφρενα παχνώθησαν·
πρόσθε γὰρ αἰήτης μὲν ἐφ' ἅρματος ἠέλιος ὥς·
λάμπετο μαρμαρυγαῖσι περὶ χρυσέων ἀπὸ πέπλων
ἀμφὶ δέ οἱ στεφάνην κεφαλὴν ἔχε θυσανόεσσαν·
ἀκτῖσιν φλογέαις· σκῆπτρον δ' ἐν χερσὶν ἐνώμα·
ἀστεροπαῖς ἴκελον· δοιὼ δ' ἑκάτερθεν ἕσπον
θυγατέρες· ταῖς γάρ κεν ἀγαλλόμενος πεφόρητο·
σμερδνὸν ὑπ' ὀφθαλμοῖσι δ' ἐσέδρακεν ἠδὲ πελασθείς·
καί οἱ ἀπὸ στηθέων βριαρὴν ἀνενείκατο φωνήν·
δεινὸν ὁμοκλήσας μέγα δ' ἀντιάχων ἐγεγώνει·
φράζετον οἵτινες ἐστέ· τί δὲ χρέος ὑμᾶς ἱκάνει·
ἔκποθεν ἐλθομένοισι κυτηΐδα γαῖαν ἀμεῖψαι·
οὐ δ' ἄρ' ἐμὴν ἀλέγοντες ἀνακτορίην πεφόβησθε·
οὐδὲ λεὼν σκήπτροισιν ἐπήρανον ἡμετέροισι
κόλχων, οἵ κεν ἄρηϊ δορυσσόοι εἶσιν ἀτηρεῖς
μόθον ἱεμένοις· εὖ εἰδότες ἶφι μάχεσθαι·
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
αἰσονίδῃ δ' ἄρα θάρσος ἐνὶ πραπίδεσσιν ὄπασσεν
ἥρη πρέσβα θεά· μέγα δ' ἀντιάχων ἐγεγώνει·
οὔτε νυ ληϊστῆρες ἱκάνομεν, οὔτε τιν' ἄλλην
γαῖαν ἐπιστρωφῶντες ἐνήρομεν ὕβριος αἴσῃ·
ἔργα δ' ἴκ' ἀνθρώποισιν· ἃ δὴ πολέες μεμάασι·
τετλάμεν ἐν βιότῃ κέρδους ἕνεκεν σφετέροιο
ἀλλά μοι ἆθλον ἔταξε ποσειδῶνος φίλος υἱὸς

πατροκασίγνητος Πελίας· χρύσειον ποτὶ κῶας·
λαζομένους ἀφικέσθαι ἐϋκτιμένην ἐς Ἰωλκόν·
οὐδ' ἔτι δὴ νώνυμοι ἐμοὶ ἐρίηρες ἑταῖροι·
οἱ μὲν γὰρ μακάρων· οἱ δ' ἡρώων γένος ἐσμέν
οὐδ' ἔτι μὴν πολέμων ἀδαήμονες οὐδὲ μόθοιο
ξεῖνοι δ' εὐχόμεθ' εἶναι ἐφέστιοι· ὡς γὰρ ἄμεινον·
Ὣς φάτο· τοῦ δ' ἄρα θυμὸς ὀρίνετο ἶσος ἀέλλῃ
Αἰήτεω· καὶ σμερδνὸν ἐσέδρακεν ὀφθαλμοῖσιν·
φρικτὸν ἐφ' ἡρώεσσι δόλον καὶ μῆτιν ὑφαίνων·
ὀψὲ δὲ δὴ Μινύαισι τοίην ἀνενείκατο φωνήν·
εἰ μὲν δὴ Κόλχοισιν ἀρηϊφάτοισιν ἐσάντα
μαρναμένοις ἐπιθῆσθον, ἀποφθίσειν μένος ἀνδρὰς
ἔλπεσθ' ὥς κεν ἀδήριτον γέρας ἔσσεται ὑμῖν·
κῶας ἀειρομένους ἰέναι πρὸς πατρίδα γαῖαν·
εἰ δέ γε παῦροι ἐόντες ὑποκλίνητε φάλαγγι
ἡμετέροι· τότε νῆα καταφθιμένοισι κεάζαι·
εἰ δέ κ' ἐμοὶ πείθησθε τὸ καὶ πολὺ κέρδιόν ἐστι·
κρίναντες τὸν ἄριστον ἢ ὃς βασιλεύτερός ἐστιν·
ὄφρα κε πειρηθεὶς ἀέθλων οὓς αὐτὸς ἐνίσσω·
κῶας ἕλῃ χρύσειον, ὃ καὶ γέρας ἔσσεται ὑμῖν·
Ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο, τοὶ δ' ἄρ' ὀπίσσω
βῆσαν ἀναζόμενοι· Μινύαις δ' ἄχος ἔπλετο θυμῷ
καί ῥά τόθ' Ἡρακλῆος ἔχον πόθον, οὐ γὰρ ἐκίμνον·
ἔθνος ἀμαιμάκετον Κόλχων, καὶ θούριον Ἄρην·
νῦν δέ σοι ὦ Μουσαῖε παραδρομάδην ἀγοράσω·
οἷά περ αἰνόμοροι Μινύαι πάθον ἠδ' ὅσ' ἔρεξαν·
ὥς τ' ἄψορρος ὄρουσ' ἐκ δώματος Αἰήταο·
Ἄργος ἐϋμμελίης Φρίξου παῖς ὅν ῥα ἔτικτε·

χαλκιόπη· τῷ γὰρ παρελέξατο πατρὸς ἐνιπῇ·
ἠνὶ χ᾽ ὑπὲρ νώτω κριοῦ κόλχοισι πελάσθη·
ἀγγέλλων μινύαισιν, ἃ δὴ τελέεσθαι ἔμελλε·
σφῆσιν ἀτασθαλίῃσι πολυφθόρου αἰήταο·
ἠδ᾽ ὡς παρθενίοις αὐτοῦ φίλτροις ἐδαμάσθη·
αἰνόγαμος μήδεια θεᾶς ἥρης διὰ βουλάς·
ἐν γάρ οἱ ἵμερον ὦρσεν ἐρωτοτρόφη κυθέρεια·
ἧκε δ᾽ ἀρίον ὑπὸ σπλάγχνοις δασπλῆτις ἐριννύς·
ὥστε βόας ζάγλαισι δαμάσσατο πυρὶ πνέοντας·
τετράγυον θέμενος σπόρον αὔλακι τὸν ῥέκ᾽ ὁμῖοσε·
φρίξος δῶ μελίης, ὅτ᾽ ἔβη δόμον αἰήταο·
ἔδνον ἐνυαλίου τε δρακοντείων ἀπὸ δόντων·
ἠδ᾽ ὡς δυσμενέων σπαρτῶν στάχυν ἐξενάριξεν,
αὐτοφόνῳ παλάμῃ· πῶς δ᾽ ἄγλαον ἤρατο κῦδος
αἰσονίδης· ὡς τ᾽ ἦλθε δ᾽ ἐκ μεγάρων λελαθοῦσα·
λιτὶ καλυψαμένη ἑανῷ διὰ νύκτερον ὄρφνην,
παρθένος αἰνολεχής· περὶ γὰρ ῥά ἑτέρον ἔρωτες
νηὸς ἐπ᾽ ἀργώας πελάσαι· καὶ πότνια ἀνάγκη
οὔτιν ὀπιζομένη πατρὸς χόλον οὐκ ἀλέγουσα·
ἠδ᾽ ὡς ἀμφιπλακεῖσα περὶ πτύξασά τε μορφάς·
στέρνα τε μαμώωσα κύσεν, χαρίεν τε πρόσωπον·
δάκρυσι πλημμύρουσα γενειάδας οὐδέ τιν᾽ αἰδῶ
ἔσχε πόθων ἥρωας· ἐλαυνομένη δ᾽ ὑπὸ φίλτρων·
παρθενίην ἔρριψε· γάμων τ᾽ ὠνήορα θυμόν·
ἄλλα τῶν πολλὰ καὶ ἐς ὕστερον αὖθις ἀκοῦσαι·
ἀλλ᾽ ὅτε δὴ μήδεια λίπεν δόμον αἰήταο
λαθριδίη· καὶ νηὸς ἐφ᾽ ἡμετέρης ἐπελάσθη,
δὴ τότ᾽ ἄρα κατὰ θυμὸν ἐμηδόμεθ᾽ ὄφρα μολόντες

ἀμφιέρης φηγοῖο δέρας χρύσειον ἕλωμεν·
ῥᾶστα περὶ φρεσὶ δ' ᾗσι δοκεύομεν οὐδέ τις ἡμῶν·
ἔργῳ μόχθον ἄελπτον ἐφέσπετο γὰρ μέγα ἔργον·
πᾶσιν ἐφηρώεσσι κακῶν δ' ἀνεφαίνετο πυθμήν·
πρόσθε γὰρ αἰήταο δόμων ποταμοῖο τ' ἐρυμνοῦ
ἐγγέε π' ὄγχνων ἕρκος περιμήκετον ἄντω·
φρουρεῖται πύργοισι καὶ εὐξέστοισι μύδροισιν
ἑπτὰ περιστεφάνοισι κυκλούμενον· ἐν δ' ἄρα τρισσαὶ
χαλκήρεις πυλαὶ εἰσὶ πελώριοι· ἐν δ' ἄρα ταῖσι·
τεῖχος ἐπιθρώσκει· περὶ δ' αὖ χρύσεαι ἐπάλξεις·
Αὐτὰρ ἐπὶ σταθμεῖο πυλῶν τηλωπὶς ἄνασσα
ἵσταμεν αἰθύουσα πυρὸς σέλας, ἥν κέν κόλχοι·
ἄρτεμιν ἐμπυλίην κελαδοδρόμον ἱλάσκονται
δεινὴν ἀνθρώποισιν ἰδεῖν, δεινήν τ' ἐσακοῦσαι·
εἰ μή τις τελεταῖς πελάσει, καὶ θύοθλα καθαρμῶν·
ὅσσαπερ ἀρητῆρα καθάρματα μύστις ἔκαθε·
δεινολεχὴς μήδεια κυτηιάσιν μίγα κούραις·
οὐδέ τις ἐνδοτέρω κείνω ὁδὸν εἰσεπέρησεν·
ἐνδαπίος ξεῖνός τε βροτῶν ὑπὲρ οὐδὸν ἀμείψας·
εἴργει γὰρ πάντη δεινὴ θεὸς ἡγεμόνεια·
λύσσαν ἐπιπλείουσα ὑπὲρ γαλινοῖς σκυλάκεσσιν
ἐν δέ σφιν πυμάτων μυχῷ ἕρκεος ἄλσος ἀμείβει
δένδρεσιν εὐθαλέεσσι κατάσκιον ᾧ ἔνι πολλαὶ
δάφναι τ' ἠδὲ κράναι, ἴδ' εὐμήκεις πλατάνιστοι·
ἐν δὲ πόαι ῥίζῃσι κατηρεφέες χθαμαλῇσιν
ἀσφόδελος, κλύμενός τε καὶ εὐειδὴς ἀδίαντος·
καὶ θρύον ἠδὲ κύπειρον ἀριστερέων τ' ἀμενηνά·
ὅρμιόν τε καὶ εἰρύσιμον, κυκλαμίς τε θεουδής·

στοιχὰς· παιονίη τε κατερρέε πολύκνημον·
μανδραγόρης πολιόν τ' ἐπὶ δὲ ψαφαρὸν δίκταμνον
εὔοδμός τε κρόκος ἰδὲ κάρδαμον· ἐν δ' ἄρα κῆμος
σμῖλαξ ἠδὲ χαμαίμηλον, μήκων τε μέλαινα
ἄλκυνα καὶ πάνακες καὶ κάρπασον ἠδ' ἀκόνιτον·
ἄλλα τε δηλήεντα κατὰ χθόνα πολλὰ πέφυκε
μέσον δ' ἠερόμηκες ἐπὶ στύπος ἄλσεϊ πολλῷ·
ἥπλωται φηγοῖο περὶξ κλαδέωσιν ἐρυμνόν
ἐν δ' ἄρα οἱ χρύσειον ἐπεκρέματ' ἔνθα καὶ ἔνθα
ὅρπηκος ταναοῖο δέρας, τὸ κεν αἶψα δοκεύει
δεινὸς ὄφις θνητοῖς ὀλοὸν τέρας οὐ φατὸν εἰπεῖν
χρυσαῖς γὰρ φολίδεσσιν ἐθείρεται ἐν δ' ἄρα πρέμνον
ἀπλάτοις ὁλκοῖσι φορεύμενος ἀμφιπολεύει
σῆμα χαμαιζήλοιο διός, ποτὶ κῶας ἀμέρθων
φρουραῖς ἀδμήτοις δ' ἐπιμαίεται ἄμμορος ὕπνου
γλαυκοῖς ἀμφ' ὄσσοισιν ἀναιδέα κανθὸν ἑλίσσων·
Αὐτὰρ ἐπεὶ κλύομεν τόδ' ἐτήτυμον ὡς ἐτέτυκτο
ἀμφί γε μουνυχίης ἑκάτης φρουρῆς τε δράκοντος
πάνθ' ὅσα οἱ κατέλεξεν ἀριφραδέως μήδεα
διζόμεθ' ἡ μὲν ἄελπτον ὀϊζυροῖο πόνοιο
ὥς κεν ἀγροτέρων μεταλιξάμενοι πεπίθοιμεν·
ἠδ' ὡς θῆρα πέλωρον ἱκοίμεθα, τόφρ' ἀνελόντες
δέρμ' ἀπονοστήσωμεν ἑὴν ἐς πατρίδα γαῖαν
καὶ τότε δὴ μετὰ πᾶσιν ὁμόκλεεν ἡρώεσσι
μόψος· ὁ γάρ τ' ἐδάη σφῆσι τάδε μαντοσύνῃσιν
ὄφρ' ἐμὲ γουνάσωνται ἐπιστείβωσι δ' ἔργον·
ἄρτεμιν ἱλάσθαι θέλξαι δ' ὑπερήνορα θῆρα
ὡς οἱ μὲν λίσσοντο περισταδόν, αὐτὰρ ἔγωγε

αἰσονίδην ἐκέλευσα δύω δ' ἄνδρε φῶτε κραταιὼ  κεα
κάστορά θ' ἱππόδαμον, καὶ πὺξ ἀγαθὸν πολυδεύ
μόψον τ' ἀμπυκίδην ἴεναι πάρος τέρματα μόχ
Αὐτὰρ ἐμοὶ μήδ' ὀπάσω ἕσπετο μούνη ἀπ' ἄλλων  θν
ἡνίκα δ' εἰς σηκοὺς ἱκόμην. ζάθεόν τε θεράπνην
χώρῳ ἐπ' ἰσπλακόεντι βόθρον τρίστοιχον ὄρυξα.
φιτροὺς τ' ἀρκεύθοιο καὶ ἀζαλέης ἀπὸ κέδρου.
ῥάμνου τ' ὀξυτέροιο πολυκλαύτων τ' αἰγείρων
ὦκα φέρων ἔνησα πυρὴν ἔμπροσθε βόθροιο.
πολλὰ δέ μοι φέρε πάντα νεπϊσαμένη μήδεα
φωριαμοῦ ἀνελοῦσα θυώδεος ἐξ ἀδύτοιο.  μην
αὐτίκα δ' οὖλα πλάσματ' ὑπὸ πέπλους ἐπονέν
αν δ' ἐπὶ πυρὴν ἐπέβαλλον. ἰδ' ἔντομα θύματ' ἔρεζον.
σκύμνους παμμέλανας σκυλάκων τρισσοὺς ἱερεύ
αἵματι δ' αὖ κάλχανθον ἰδὲ στρούθιον ἔμιξα  σας
κνήκον τε σχιστὴν, ἐπί τε ψύλλιον ἀφδές.
ἄγχουσάν τ' ἐρυθρὴν ἰδὲ χάλκιμον αὐτὰρ ὀπτὰ
νήδυας ἐμπλήσας σκυλάκων, φιτροῖσιν ἔθηκα.
ὕδατι ἰξ δ' αὖμας χολάδας χεόμην περὶ βόθρον
ὄρφνινά θ' ἑσσάμενος φάρη καὶ ἀπεχθέα χαλκὸν
κρούων ἐλλισάμην, αἳ δ' ὀτραλέως ἐπάκουσαν.
ῥήξασαι κενεῶνας ἀμειδήτοιο βερέτρου
τισιφόνη τε καὶ ἀλληκτὼ καὶ δῖα μέγαιρα.
πεύκαις ἀζαλέαις φόνιον σέλας αἴθουσαι.
καίετο δ' αὐτίκα βόθρος ἐσμαράγει δ' ὀλοὸν πῦρ.
λιγνὺς δ' αἰθαλόεσσα χύθη περιμήκετα καπνόν.
αὐτίκα δ' ἐξ ἀΐδαο διὰ φλογὸς ἠγέρθησαν
δειναὶ θαμβήτειραι ἀπηνέες ἀπροσόρατοι.

ἡ μὲν γὰρ, δέμας ἔσχεσι δήρεον, ἣν καλέουσι·
πανδώρην χθόνιοι, σὺν δ' αἰολόμορφος ἵκανε
τρισσοκέφαλος· ἰδεῖν ὀλοὸν τέρας οὔτι δαικτόν·
ταρταρόπαις ἑκάτη· λαιοῦ δ' ἀρ' ἔπεσσυθεν ὤμου·
ἵππος χαιτήεις· κατὰ δεξιὰ δ' ἦεν ἀθρῆσαι·
λυσσῶπις σκυλάκη· μέσση δ' ἔφη ἀγριόμορφος·
χερσὶν δ' ἀμφοτέραις ἔχεν ἄορα κωπήεντα·
ἐγκύκλιαι δὲ δινεῦντο περὶ βόθρον ἔνθα καὶ ἔνθα
πανδώρη ἑκάτη τε· συνεσσάοντο δὲ ποιναί·
ἐκ δ' ἄφαρ ἀρτέμιδος φρουρὸν δέμας ἧκε χαμᾶζε
πάκας ἐκ χειρῶν, ἐς δ' οὐρανὸν ἤραρεν ὄσσε, ·
σαῖνον δὲ σκύλακες πρόπολοι λύοντο δ' ὀχῆες
κλήθρων ἀργυρέων, ἀνὰ δ' ἔπτατο καλὰ θύρετρα
τείχεος εὐρυμενοῦς· ὑπεφαίνετο δ' ἄλσος ἐρυμνόν·
Αὐτὰρ ἐγὼν ὑπὲρ οὐδὸν ἔβην· τῆμος δ' ἔτε κούρη
αἰήτεω μήδεια· καὶ αἴσονος ἀγλαὸς υἱὸς
τυνδαρίδαι τ' ἤπειγον ὁμοῦ σὺν δ' ἕσπετο μόψος
ἀλλ' ὅτε δὴ σχεδόθεν κατεφαίνετο φηγὸς ὀραννή,
κρηπῖς τε ξενίοιο διὸς καὶ βώμιος ἕδρη·
ἔνθα δράκων ὁλκοῖσιν ὑπὸ πλατέεσσιν ἑλιχθεὶς
δινεύων ἀνάειρε κάρα βλοσυρόν τε γένειον
ἂν δ' ὀλοὸν σύριζ'· ἔπι δ' ἔβραχεν ἄσπετος αἰθήρ·
δένδρεα δ' ἐσμαράγησε κραδαινόμεν' ἔνθα καὶ ἔνθα
κρημνόθεν ἐκ ῥίζης ἴαχησε δὲ σύσκιον ἄλσος·
Αὐτὰρ ἐμὴ δ' ἑτάρους φόβος ἔλλαμε, νόσφι δὲ μούνη
μήδ' ἔφεν στέρνοις ἀκαμπέα θυμὸν ἐνώμα·
δρέψατο γὰρ παλάμησι λυγρῶν ἀποθρίσματα ῥιζῶν
καὶ τότ' ἐγὼ φόρμιγγος ἐφήρμοσα θέσκελον ὀμφὴν

κλάγξας δ' ἄρ' ἐξ ὑπάτης χέλυος καρυκχέα φωνὴν
σιγαλέως ἄφθεγκτον ἐμοῖς ὑπὸ χείλεσι πέμπον.
κλῇξα γὰρ ὕπνον ἄνακτα θεῶν πάντων τ' ἀνθρώπων
ὄφρα μολὼν, θέλξειε μένος βριαροῖο δράκοντος
ῥίμφα δέ μοι ὑπάκουσε. κυτηάδα δ' ἧκ' ἐπὶ γαῖαν.
κοιμίσσας δ' ὅγε φῦλα πανημερίων ἀνθρώπων
καὶ ζαμενεῖς ἀνέμων πνοιὰς καὶ κύματα πόντου.
πηγάς τ' ἀενάων ὑδάτων, ποταμῶν τε ῥέεθρα
θῆράς τ' οἰωνούς τε, τά τε ζώει τε καὶ ἕρπει
ὑπνάζων ἄμειψεν ὑπὸ χρυσέαις πτερύγεσσιν.
ἷξε δ' ὑπὸ στυφελὸν κόλχων ὑπνανθέα χῶρον.
κῶμα δ' ἄφαρ κατέμαρψε πελωρίου ὄσσε δράκοντος.
ἰσοπαλὲς θανάτῳ, δολιχὴν δ' ἀμφαυχένι δειρὴν
θῆκε καρηβαρέων φολίσιν. θάμβησε δ' ἰδοῦσα.
αἰνόποτμος μήδεια. καὶ αἴσονος ἀγλαὸν υἷα
ἧκ' ἐπιθαρσύνουσα θοῶς πρέμνοιο λαβέσθαι
κῶας χρυσεόμαλλον. ὁ δ' οὐκ ἀπίθησεν ἀθρήσας.
Αὐτὰρ ἀειράμενος δέρας ἄπλετον, ἷκτ' ἐπὶ νῆα.
ἥρωες μινύαι μέγ' ἐγήθεον, ἂν δ' ἄρα χεῖρας.
ἀθανάτοις ἦραν, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν.
ὡς οἱ μὲν, περὶ κῶας ὀπώπεον, αἶψα δ' αἰήτης
ἀμφιπόλων ἤκουσεν ἀποιχομένην μήδειαν
ὦκα δ' ἄρ' ἀψύρτῳ ἐπετέλλετο λαὸν ἀγείρειν.
μαστάειν δ' ἄρα παῖδα κασιγνήτην καὶ ὄπατρον.
ἀλλὰ ἑωκὺς ἔπειγε παρὰ προχοὰς ποταμοῖο
εἰς λόχον ἡρώων, ἔκιχεν δ' ἄρα παρθένον αἰνήν.
νὺξ δὲ τότ' ἀστροχίτων μέσσην παράμειβε πορείαν
ἐκ δ' ἐτελεῖτο δόλος στυγερὸς καὶ κῆρες ἀϊδναί

μηδείης ὑπ᾽ ἔρωτος ἐρικλύτου ἀψύρτοιο.
ὃν ῥα κατακτείναντες, ἐπὶ προχοαῖς μεθέηκαν
ὀρνυμένου ποταμοῖο. φέρεν δ᾽ ὅγε πνεύματι κραιπ
θυόμενος δ᾽ ἐδίνας. εἰς κύμ᾽ ἁλὸς ἀτρυγέτοιο νῶ.
κέλσεν ὑπὲρ νήσων, ἀψυρτίδας ἃς καλέουσιν.
ἀλλ᾽ ἄρα οὔτι λάθον δί᾽ ἐπόψιον ἠδὲ θέμιστας.
Αὐτὰρ ἐπεὶ νηὸς μὲν ἔσω κίον, ἐκ δ᾽ ἑκάτερθεν
ὄχθης πείσματ᾽ ἔκοψαν, ὑπ᾽ εἰρεσίῃς δὲ θοῇσι.
πλεῖον ἐπειγόμενοι ποταμοῦ τάμον, ὅττι κατ᾽ αὖ
πόντον ἐπ᾽ ἰχθυόεντα διὰ στόμα φάσιδος εὐρὺ
ἵεμεθ᾽. ἀμπλακίῃ δ᾽ ἐφοράμεθα πολλὸν ὀπίσσω
αἰὲν ἀναπλάζοντες ἐλείπετο δ᾽ ἄστεα κόλχων
ἀφραδίῃσι μινύαις σκοτερὴ δ᾽ ἔτε ἀμφέχεν ὄρφνη.
Αὐτὰρ ἐπειγόμενοι θέομεν ῥόον ἀφραδίῃσι.
μεσάτιοι πεδίοιο βροτοὶ δ᾽ ἐμὶν ἀμφινέμονται
γυμνοὶ βουνομάτε. καὶ ἄρκυες ἀγροιῶται
κερκετικόν τ᾽ ἀνδρῶν φῦλον, σινδῶν τ᾽ ἀγερώχων.
οἳ νήσαντο μεσηγὺ χαράνδ᾽ αἴων τ᾽ αὐλώνων
καυσάκιον παρὰ πρῶνα διὰ στεινῆς ἐρυθείας.
ἀλλ᾽ ὅτ᾽ ἀπ᾽ ἀντολίης ἐφάνη τερψίμβροτος ἠώς
ποιανθεῖ νήσῳ προσεκέλσαμεν, ἔνθα δὲ δισσοὶ
χάσμασιν ἀπλώτοισι περισχίζουσι ῥέεθρα
φάσις τ᾽ εὐρυμενὴς ἀκαλαρρείτης τε σαράγγης.
τὸν ῥα πλημμύρουσα διὰ χθονὸς εἰς ἅλα πέμπει
μαιῶτις καναχηδὸν ἑλειονόμου διὰ ποίης.
καὶ τότ᾽ ὑπ᾽ εἰρεσίῃ πλέομεν διὰ νύκτα καὶ ἦμαρ.
δισσαῖς δ᾽ ἐν τριμόροισι βοὸς πόρον ἐξικόμεσθα
λίμνης. οὔτε μεσυγὺ βοοκλόπος οὔποτε τιτὰν

ταύρῳ ἐφεζόμενος βριαρῶ πόρον ἔσχισε λίμνης.
καί ῥα παρημερίησι πορώμενοι εἰρεσίησι
μαιώτας πρώτας ἀφικάνομεν ἀβροχίτωνας,
ἠδὲ γελωνῶν ἔθνος, βαθυχαίτων τ᾽ ἄπλετα φῦλα.
σαυρομάτας τε γέτας τε κεγυμναίους κέκρυφάς τε.
ἀρσωπάς τ᾽ ἀριμάσθας. ἔθνη πολυπήμονα λαῶν
ὧν περιναιετάει ἐγγὴ μαιῶτιδα λίμνην.
Αὐτὰρ ἐπεὶ κἐν τοισὶ δύω ἀμέγαρτον ἔθηκαν
ἀθάνατοι, πύματον δ᾽ ἐ βυθοῦ διαμείψαμεν ὕδωρ
ὄχθησι χθαμαλῆσιν ἀποβλύει αἰπὺν ὄλεθρον.
ῥοίζῳ ἐλαυνομένη. καναχεῖ δέ τοι ἄσπετος ὕλη.
ἀρκτώοις περάτεσσιν ἐπέρχεται ὠκεανόν δέ.
τῷ ῥα τότ᾽ ἀρπαχθεῖσα διὰ στόματος κίεν ἀργώ.
ἐννέα μὲν νύκτας τε καὶ ἤματα μοχθίζοντες.
λείπομεν ἔνθα καὶ ἔνθα βροτῶν ἀπηνέα φῦλα
πακτῶν. ἀρκτῴωτε γένος λελίων τ᾽ ἀγερώχων.
τοξοφόρους τε σκύθας ἄρεος πιστοὺς θεράποντας
ταύρους τ᾽ ἀνδροφόνους, οἳ ἀμφ᾽ δία ἄεθλα φέρουσι
μουνυχίῃ. βροτέῳ δ᾽ ἐπιδεύεται αἵματι κρητήρ.
ἀν δ᾽ ἄρ᾽ ὑπερβορέους νομάδας καὶ κάσπιον ἔθνος.
Αὐτὰρ ἐπεὶ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς
ῥιπαίους αὐλῶνας ἐκέλσαμεν, ἐκ δ᾽ ἄφαρ ἀργὼ
ἄγεν ἐπιπροθέουσα διὰ στεινοῖο ῥεέθρου.
ἔμπεσε δ᾽ ὠκεανῷ, κρόνιον δέ ἑ κικλήσκουσι
πόντον ὑπερβορέην μέροπες νεκρῶν τε θάλασσαν.
οὐκέτι δὲ προφυγεῖν ἐδοκοῦμεν λυγρὸν ὄλεθρον.
εἰ μὴ ἀρ ὁρμαίνουσαν ὑπὸ κρατερῆφι βίηφι
νῆα μολεῖν ἴθυν ἐπὶ δεξιὸν αἰγιαλοῖο

ἀγκαῖος ξεστοῖσι πιθήσας. πηδαλίοισιν.
ἦ δ' ἔθορεν δίναισι βιησαμένη παλάμῃσιν.
ἀλλότε δὴ μογερῇσιν ἐδαμνάμεθ' ἀφρεσίῃσι.
χεῖρες δ' οὐκέτ' ἔμιμνον ἀκηχέμενοι δὲ φίλον κῆρ
πήχεας ἀμπλέξαντες, ἐνφρήσαντο μέτωπα.
ἱδρῶ ἅμα ψύχοντε κέαρ δ' ἐπετέφρετο λιμῷ.
ἀγκαῖος δ' ἐξᾶλτο καὶ ἄλλους πάντας ὄτρυνεν
ἥρωας μαλακοῖσι παραιφάμενος ἐπέεσσιν.
οἱ δ' ἐπεὶ οὖν τέναγός τε πολυστρέπτοισι κάλωσι
βάντες ὑπὲρ τοίχων ἅλα δὲ σφυρὰ κοῦφα βάλοντο
ὦκα δ' ἄρ' ἀρτήσαντο πολυστρέπτοισι κάλωσι
πρύμνης ἐξ ὑπάτης δολιχὼ μηρίνθα, βαλόντες
ἄργος τ' ἀγκαῖός τε. καὶ ἀρχὰς δῶκαν ἑλέσθαι
ἡρώων. τοὶ δ' αἶψα δ' ἰαγιαλοῖο θέοντες.
σύρον ἐπειγόμενοι. σὺν δ' ἕσπετο ποντοπόρος νηῦς
τέμνουσ' ὑγρὰ κέλευθα παρὰ ξυστοῖς κροκάλοισιν.
οὐ γὰρ ἐλιγὺς οὖρος ὑπὸ πνοιῇσιν ὄρινε.
εὐκταίων ἀνέμων κλαγγῇ ἅλα. κωφὰ δὲ πόντος
κεῖθ'. οὗπερ θ' ἑλίκης καὶ τηθύος ἔσχατον ὕδωρ.
Αὐτὰρ ἐπεὶ ἕκτη φαεσίμβροτος ἤλυθεν ἠώς
ἔθνος ἐς ἀφνειὸν καὶ πλούσιον ἐξικόμεσθα.
μακροβίων. οἳ δὴ πολλέας ζώουσ' ἐνιαυτούς
δώδεκα χιλιάδας μηνῶν ἑκατονταετήρων,
πληθούσης μήνης. χαλεπῶν ἔκτοσθεν ἁπάντων
Αὐτὰρ ἐπεὶ μωὸς τὸ πεπρωμένον ἐξανύσωσιν.
ὕπνῳ ὑπὸ γλυκερῷ θανάτου μάρπτουσι τελευτήν
οὐδ' ἄρα τοῖσι μέλει βίοτος καὶ ἔργ' ἀνθρώπων.
ποίαις δ' ἐν μεσάταις μελιηδέα φέρβα νέμονται.

ἕρσην ὑπ' ἀμβροσίην θεῖον ποτὸν ἐξαρύοντες·
πάντες ὁμῶς στίλβοντες ὁμηλικίῃ ἐρατεινῇ
μειλιχίη δέ τοι αἰὲν ἐπ' ὀφρύσι νεύσει γαλήνη·
παίδεσιν ἠδὲ τοκεῦσιν ἐπὶ φρεσίν, ἠδὲ νόοιο·
αἴσιμά τε ῥέζειν πεπνυμένα τ' ἐξαγορεύειν·
καὶ τοὺς μὲν ῥαθρόους παραμείβομεν αἰγιαλὸν δὲ
ποσσὶν ἐπιστείβοντες· ἔπειτα δὲ κιμμερίοισι
νῆα θοὴν ἐπάγοντες ἱκάνομεν, οἵ ῥά τε μοῦνοι
αἴγλης ἄμμοροί εἰσι πυριβρόμου ἠελίοιο·
ἐν μὲν γὰρ ῥίπαιον ὄρος καὶ κάλπιος αὐχὴν
ἀντολίας εἴργουσ'· ἐπικέκλιται δὲ πελώρη
ἆσσον ἐπισκιάουσα μεσημβριὸν ἤερα φλέγρη·
δείελον ἂν κρύπτουσι φάος· τανυήκεες ἄλπεις
κείνοισι μερόπεσσιν· ἀχλὺς δ' ἐπικέκλιται αἰεὶ
ἐνθάδ' ἀφορμηθέντες ἐπειγομένοισι πόδεσσιν
ἵξομεν ἀγκῶνα στυφελὸν καὶ νήνεμον ἀκτὴν·
ἔνθά περ ἀμβλύζων ποταμὸς δίναισι βαθείαις
θεῖ χρυσορρόας ἀχέρων κρυεροῦ διὰ χώρου·
ἀργυροειδὲς ἕδος προρρέων, λίμνη τε κελαινὴ
ἀνδέχεται· πάντα γε δὲ παρ' ὄχθαισι ποταμοῖο
δένδρεα τηλεθάοντα ποτὶ σχεδόν, οἷσι καρπὸς
βέβριθε νύκτας τε καὶ ἤματα συνεχὲς αἰεὶ·
ἀμφὶ δέ οἱ χθαμαλή τε καὶ εὔβοτος ἑρμιονία·
τείχεσιν ἠρήρισται ἐϋκτιμέναις ἐπ' ἀγυιαῖς·
ἔνθα δὲ γένη ζώουσι δικαιοτάτων ἀνθρώπων
οἷσιν ἀποφθιμένοισιν ἅλις ναῦς ἴα τέτυκται·
καὶ δ' αὖ αἱ ψυχαὶ μετεκίαθον εἰς ἀχέροντα
πορθμίδος ἐκ γλαφυρῆς· σχεδόθεν δέ οἱ εἰσὶ πόληες

ἄρρηκτοί τ' ἀΐδαο πύλαι· καὶ δῆμος ὀνείρων·
ἄλλοτε δὴ καὶ τῶνδε πόλιν καὶ ἤθεα λαῶν
σφῇ ἄτῃ βαρίῳ οἶτον ἀναπλώσαντες ἔβημεν
δηρὰ· τότ' ἀγκαῖος υἱὸς κίεν· αἶψα δὲ πάντας
ἐσβαίνειν ἐκέλασε κεκμηκότας ἄμμιγ' ἑταίρους·
τοὺς ὅγε καὶ μύθοισι προσηύδα μειλιχίοισι·
τλῆτε φίλοι τὸν μόχθον, ἐπεὶ νύ τοι οὔ τι χέρειον
ἔλπομαι ἀνστήσεσθαι· ἐπιφρίσσοντα γὰρ ἤδη
ἀκραῆ ζέφυρον καταδέρκομαι· οὐδ' ἀτέκμαρτον
ὕδωρ ὠκεανοῦ κελαρύζεται ἐν ψαμάθοισιν
ἀλλὰ θοῶς ἱστὸν μὲν ἀναστύσασθε μεσόδμῃ·
λύσατε δὲ προτόνων ὀθόνας· ἐκ δ' ὅπλα χέοντες·
σφίγξατ' ἐπισταμένως τοίχων ἑκάτερθε βαλόντες
ὡς οἱ μὲν, τὰ ἕκαστα πονέατο· ἐκ δ' ἄρα κοίλης
νηὸς ἐπιβρομέουσα τομαριὰς ἔκλαγε φηγός·
ἥν ποθ' ὑπ' ἀργῴοισι τομαῖς ἡρμόσατο παλλάς·
ὢ δὲ δ' ἔφη· θάμβρος δὲ περὶ φρένας ἵκετο πάντας
ὤμοι ἀγὼν, ὄφελόν με διαρραισθεῖσαν ὀλέσθαι·
κυανέαις πέτραισιν ἐν ἀξένῳ τε κύδωνι
ἢ καὶ νῦν ἀνάπυστον ἀϊδρείῃ βασιλήων
νώνυμον φορέεσκον· ἐπεὶ νῦν ἄμμ' ἐρινὺς
αἵματος ἐμφυλίοιο δ' ἐδουπότος ἀψύρτοιο·
ὑστερόπους ἕπεται· στέργα δέ τοι ἄτη ἐπ' ἄτην·
νῦν γὰρ δηλυγρῆς τε καὶ ἀργεννῆς κακότητος·
ἵξομαι· ἀμνήεστιν ἐριννύσιν ἄσσον ἵκωμαι
ἀμὴ γὰρ μὴ ἱερῇσιν ἐπιγνάμψαντες ἄκρησι
κόλπον ἔσω γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης
ἵξεσθ' ἂμ πέλαγος ἀτλαντικὸν ἐκτὸς ἵκωμαι·

ὣς εἰποῦσαν δὴν κατερήτυεν· ἐν δ' ἄρα θυμὸς
συγχώσθη μὴ γνῶσι διαμπερὲς, αὐτὰρ ἔμελλον
σχήσειν λυγρὸν ὄλεθρον· Ἰάσονος εἵνεκα φίλτρων·
πολλὰ δὲ μερμήριζον ἐνὶ φρεσὶ πευκαλίμοισιν
ἢ μὲν ἀποφθίσωσι· καὶ ἰχθύσι κύρμα βάλωσιν
αἰνολεχῆ μήδειαν· ἀποστρέψωσι δ' ἐρινύν·
εἰ μὴ ἄρ' ὀξὺ νόησε περικλυτὸς αἴσονος υἱός·
καὶ τότε λισσόμενος θυμὸν κατερήτυ' ἑκάστου·
Αὐτὰρ ἐπεί τ' ἀργοῦς ἐτυμηγόρου ἔκλυον ὀμφὴν
ἧντο παρὰ σκαλμοῖσι θοῶς· λάζοντο δ' ἐρετμά·
ἀγκαῖος δ' οἴακας ἐπισταμένως ἐτίταινε·
πὰρ δ' ἄρα νῆσον ἄμειβεν ἰερνίδα· καὶ οἱ ὄπισθεν
ἧκτο καταΐγδην δνοφερὴν ῥομέουσα θύελλαν·
ἐν δ' ὀθόνας κόλπωσε· θέεν δ' ἄφαρ ὑγρὸν ἐπ' οἶδμα
νηῦς· οὐδ' ἤτις ἐς αὖθις ἀναπλάσεσθαι ὀλέθρου
ἤλπετο· δωδεκάτη γὰρ ἐπήϊεν ἠριγένεια·
οὐδέ τις ἔγνω ᾗσιν ἐνὶ φρεσὶν, ὁππότ' ἄρ' ἐσμὲν
εἰ μὴ ἐσχατιαῖς ἀκαλαρρόου ὠκεανοῖο
λυγκεὺς εἰσενόησεν· ὁ γὰρ τηλωπὸν ὄπωπε
νῆσον πευκήεσσαν· ἰδ' εὐρέα δώματ' ἀνάσσης
δήμητρος· περὶ δ' αὖτε μέγα νέφος ἐστεφάνωται·
ὧν πέρι μῦθον ἅπαντ' ἔκλυες μουσαῖε δαΐφρον·
ὥς ποτε φερσεφόνην τέρεν' ἄνθεα χερσὶ δρέπουσαν
ἐξάπαφον συνόμαιμοι ἀν' εὐρύ τε καὶ μέγα ἄλσος
Αὐτὰρ ἔπειθ' ὥς μιν πλουτεὺς κυανότριχας ἵππους
ζευξάμενος, κούρην ἐπεβήσατο δαίμονος αἴσῃ·
ἁρπάξας δ' ἔφερεν διὰ κύματος ἀτρυγέτοιο·
δὴ τότ' ἔσω ἀπόειπομ' ἐπιπλώον ταμέεσθαι·

νήσου ἐπὶ ῥηγμῖνα καὶ αἰγλήεντα τέρεμνα·
ἔνθ' οὔτις σὺν νηὶ παρὰ μερόπων ἀνθρώπων·
οὐ γάρ οἱ ἐστὶ λιμὴν νηῶν ὀχὸς ἀμφιελίσσων·
ἀλλά γε ἠλίβατος πέτρη περὶ πάντα πέφυκεν
ὑψηλή· τά τε καλὰ φυῇ μενοεικέα δῶρα·
καὶ τότ' ἄρ' οὐκ ἀπίθησε νέος κυανοπρώροιο·
ἰθυντὴρ ἀγκαῖος· ἀνέτρεχε δ' αἶψ' ἀνορούων·
σκαιὸν ὑπεκκλίνας οἴηκον· ἐν δ' ἄρ' ἔπειθε
μήτι κατὰ ἰθὺ περᾶν· ἐπιδεξία δ' ἦγε θέουσαν·
ἤματι δὲ τριτάτῳ κίρκης δόμον ἐξικόμεσθα·
λυκαίου ποτὶ χέρσον ἁλιστεφέας τε θεράπνας·
καὶ τότ' ἄρ' αἰγιαλοῖσιν ἐκέλσαμεν ἀχνύμενοι κῆρ·
πείσματα δ' ἐν πέτρῃσιν ἐδήσαμεν· ἐκ δ' ἄρ' ἰήσων
νηὸς ἀποπροέηκε μολεῖν ἐρίηρας ἑταίρους·
διζόμενος εἴ τις ἄρ' ἀνθρώπων ἀν' ἀπείρονα γαῖαν
ναιετάει γνῶεν δὲ πόλιν καὶ ἤθεα λαῶν·
τοῖσι δ' ἄφαρ ὡμάρτησε καταντίον ἐρχομένοισι·
κούρη ὁμογνήτη μεγαλόφρονος αἰήταο
ἠελίου θυγάτηρ· κίρκην δὲ ἑ κικλήσκουσι·
μήτηρ ἀστερόπη καὶ τηλεφανὴς ὑπερίων·
ἦρα θοῶς ἐπὶ νῆα κατήλυθεν· ἐκ δ' ἄρα πάντες
θάμβεον εἰσορόωντες· ἀπὸ κρατὸς γὰρ ἔθειραι
πυρσαῖς ἀκτίνεσσιν ἀλίγκιοι ἠώρηντο· μη·
στίλβε δὲ καλὰ πρόσωπα· φλογὸς δ' ἀπέλαμπεν ἀϋτ
Αὐτὰρ ἐπεὶ μήδειαν ἐσέδρακεν ὀφθαλμοῖσι
λιτὶ καλυπτομένην, ἑανῷ δ' ἀμφέσχε παρειάς·
αἰδομένη· χλωρὸν γὰρ ὑπὸ στέρνοις ἀκάχητο·
ἣν τότ' ἐποικτείρουσα προσηύδα γε καὶ φάτο κίρκη

ὦ δειλοὶ τίνυ σοι κύπρις ὤπασε μοῖραν·
οὐ γάρ τοι λελάθεσθε ἅπερ ῥέξαντες ἱκνεῖσθε·
νῆσον ἐφ' ἡμετέρω παρεντ' ὥσιοι ἕνεκα πατρὸς·
γηραιοῦ κάσιός τε τὸν ἔκπαγλως ὀλέσατε
οὐ δὲ γὰρ ὑμμε πάτρησιν οἴομαι ἆσσον ἱκέσθαι
εἰ ἐν ἀναγνίστοισιν ἀλιτροσύναις ἀκέοντες
μέσφ' ὅταν ἐκνίψησθε μύσος θείοισι καθαρμοῖς
ὀρφέως ἰδμοσύνησι παρὰ κροκάλοισι μαλείης·
οὐκ δὲ γὰρ ἡμετέροιο δόμου θέμις ἐστὶν ἱκέσθαι·
προστροπίους τοιόσγε λύγρω πεπαλαγμένοι ὥστε
ἀλλά μιν ἄντι κ' ἐγὼ πρόφρων ξεινήϊα πέμψω·
σῖτον καὶ μέθυ λαρὸν ἔχειν σὺν δὲ κρέα πολλὰ
ὣς εἰποῦσ' ἄψορρος ἀπέπτατο νηὶ δὲ μέσσῃ·
δαιτὸς τ' ἤδη ἔπειτα τετυγμένα τεύχε' ἔκειτο·
ἂν δ' ἄρ' ἐπειγομένοισι βέεν λιγὺς οὖρος ἀήτης·
καὶ τότε λυσάμενοι κείνης ἀπὸ πείσματα νήσου
κῦμα διαπρήσσοντες ἀνὰ στόμα τερμησοῖο
ἱκόμεθα στήλαισι δ' ἐκέλσαμεν ἡρακλέος·
ἄκραις δ' ἀμφ' ἱεραῖσι διωνύσοιο ἄνακτος
μίμνομεν ἑσπέριοι· δαιτὸς γὰρ ἐδεύετο θυμός
τῆμος γὰρ τολΐαισιν ἐγείρετο φωσφόρος αἴγλη
ὄρθριοι εἰρεσίῃς γλαυκὼ ἐχαράξαμεν ἅλμηνων
σαρδῷον δ' ἱκόμεσθα βυθὸν κόλπους τε λατίνων
νήσους τ' αὐσονίας τυρρηνάς δ' ἱξόμεθ' ἀκτάς
Αὐτὰρ ἐπεὶ λιλύβηον ἐπέσχομεν ἠχέτα πορθμόν
τριγλώχινά τε νῆσον ἐπέσχομεν ἐγκελάδοιο
αἴτναιν φλὸξ σφιν ἄρ' ἐρητύει μεμαῶτας
δὴ τότε ὑπὲρ πρώρης ὀλοὸν περιέζεεν ὕδωρ

ἀγχόθεν ἐκ μυχάτου δὲ βυθοῦ ῥοίβδησε χάρυβδις·
κύματι καχλάζοντι καὶ ἴσιον ἄκρον ἵκανε·
ῥῆα δ' ἄρ' αὐτόθι κατέσχεν ῥόος ὃ δ' ἐμ.ιν εἴα
προπροθέειν, ὃ δ' αὐτίκα ἀναδύσεσθαι ὀπίσσω·
κοίλῳ ἐπιλυγρῷ δὲ περιστρεφάδην ἀλάληκτο·
ἦ τάχα καὶ δύσεσθ' ἀργὼ κατὰ βένθ' ἔμελλεν
εἰ μὴ πρεσβίστη θυγάτηρ ἁλίοιο γέροντος
εὐρυβία πηλῆα πόσιν λελίκτο ἰδέσθαι
μειλιχίη δ' ἐκ δῦτο βυθοῦ καὶ ῥύσατ' ὀλέθρου
ἀργῴαν ἄκατον καὶ ὑπ' ἰλύος ἐξεσάωσε·
δὴ τότε οἱ πλώοντες ἐπέσχομεν οὐ μάλα τηλοῦ·
προβλῆτα σκόπελον πέτρη δ' ἐφύπερθεν ἀπορρὼξ
λισσοῖς χηραμόνεσσιν ἐπιθρώσκουσα βιᾶται
πόντον ἔσω χαροπὸν δ' ἄρ' ὑποβρέμει ἔνδοθι κῦμα.
ἔνθα δ' ἐφεζόμεναι λιγυρὴν ὄπα γηρύουσι
κοῦραι· ἀνοστήτους δὲ βροτῶν θέλγουσιν ἀκουᾷ·
δὴ τότε δὴ μινύαισιν ἐφώδαμεν ὑπτὶς ἀοιδῆς·
σειρήνων· οὐδ' ἔσφι παραπλώεσθαι ἔμελλον
φθεγγὴν οὐλομένην· χειρῶν δέ οἱ ἧκαν ἐρετμὰ
ἀγκαῖος δ' ἴθυνεν ἐπὶ προβλῆτα κολωνὸν
εἰ μὴ ἐγὼ φόρμιγγα τιταινόμενος παλάμῃσι·
μητρὸς ἐμῆς ἐκέρασσ' εὐτερπέα κόσμον ἀοιδῆς·
ἤειδον δὲ λιγὺ κλάζων διὰ θέσκελον ὕμνον
ὥς ποτε οἱ δηρίσαν ἀελλοπόδων ὑπὲρ ἵππων·
Αὐτὰρ κυανοχαῖτα χολωσάμενος διὶ πατρὶ
τύψεν λυκτονίην γαίην χρυσηνίτρια γῆν
καὶ ῥαίγδην διεσκέδασεν κατ' ἀπείρονα πόντον
νήσους εἰναλίας ἔμεναι, τὰς ῥ' ἐξονόμηναν

σαρδὼ τ᾽ εὔβοιάν τ᾽· ἐπεὶ δὲ κύπρον ἠνεμόεσσαν.
δὴ τότε φορμίζοντος ἀπὸ σκοπέλου νιφόεντος.
σειρῆνες θάμβησαν· ἑὴν δ᾽ ἄμπαυσαν ἀοιδὴν.
καὶ ῥ᾽ ἡ μὲν, λωτούς· ἡ δ᾽ αὖ χέλυν ἔκβαλε χειρῶν
δεινὰ δ᾽ ἀνεστονάχησαν· ἐπεὶ πότμος ἤε λυγρὸς
μοιριδίου θανάτοιο σφέας δ᾽ ἀπὸ ῥωγάδος ἄκρης
ἐς βυθὸν δίσκευαν ἁλιρροθίοιο θαλάσσης.
πέτρας δ᾽ ἠλλάξαντο δέμας μορφήν θ᾽ ὑπέροπλον
αὐτὰρ ἐπεὶ καὶ τόνδε πότμον παράμειψε θέουσα
ἀργὼ κῦμα δὲ πόντου καὶ κόλπον ἵκανε
λαιψηροῖς πλήκτουσα κατὰ προτόνων ἀνέμοισι,
κέρκυραν ζαθέην ἐξίκετο, τῆς σφιν ἔναιον,
ἴδριες εἰρεσίης καὶ ἁλιπλάγκτοιο πορείης
φαίηκες τοῖσιν δ᾽ ἄρ᾽ ἐφημοσύναισι θέμιστας
ἀλκίνοος κραίνεσκε δικαιότατος βασιλήων
πείσματα δ᾽ ἅψαμενοι πορσύναμεν ἱερὰ θέσθαι
ζηνὶ πανομφαίῳ καὶ ἐπακτίῳ ἀπόλλωνι,.
ἐν δ᾽ ἄρ᾽ ὑπειρεσίῃσιν ἐπειγόμενοι φορ έοντο
νηυσὶν ἀπειρεσίαις βριαρὸς λόχος αἰήταο
κόλχων ἐρραίων τε· χαρανδαίων σολύμων τε.
διζόμενοι μινύας τόφρ᾽ ἂν μήδειαν ἄγοιντο.
ὄψινες αἰήταο πατρὸς, τίσειε δ᾽ ἀμειβάς.
σφῆσιν ἀτασθαλίησιν ἀδελφειοῦ κταμένοιο
ἄλλοτε δὴ κοίλου λιμένος μυχῷ ἆσσον ἵκοντο
αἶψα δ᾽ ἄρ᾽ ἀλκινόοιο δόμον κήρυκες ἔβαινον
μηδείης λυτογοῦνα. δέος δ᾽ ὤχρειε παρειὰς
μὴ οἱ ἑλὼν ἀέκουσαν, ἑὸν πέμψειε δόμον δὲ
φαιήκων βασιλεὺς, ἀνάπυστά τε ἔργα γένηται

ἀλλ' οὔ οἱ τάδε μοῖρα τελεσσίμως κατένευσε
πρὶν δή τοι πελίαο δόμοις ἔπι λυγρὸν ὄλεθρον
αὐτῷ τε κρείοντι φέροι κακὸν οἶτον ἰήσων.
ἀλλ' ὅτε δὴ βασιλῆος ἀπ' ὠέος ἔκλυεν αὐδὴν,
ἀρήτηρ ὃδ' ὅπηχυς ἰδ' ἀλκίνοος θεοειδής.
ἀλκίνοος μὲν ῥ' ὦχ' ἐπετέλλετο κηρύκεσσι.
κούρῳ ἀμφήριστον ἄγειν ἀπὸ νηὸς ἐρυμνῆς
πατρί θ' ἑῷ τίσεσθαι δίκην ἀλιτημοσυνάων.
ἀρήτη δ' ᾤκτειρεν ἀγακλειτὴ βασίλεια.
μείλιχα παρφαμένη δὲ τὸν ὃν πόσιν, ὧδ' ἀγόρευεν
οὐ μὲν δὴ φίλον ἐστὶν ἀπορρώσασθαι ὅμιλον,
λέκτρα τε στορέσαι. λύσαι τ' ἐκ πυρσὸν ἔρωτος.
θυμαίνει μάλα γάρ σφιν διωναίη ἀφροδίτη.
ἀνδράσιν ἠδὲ γυναιξίν, ὅστις τάδε μήσεται ἔργα.
ἀλλ' εἰ μὲν κούρη πέλεται καὶ ἄχραντος ἱκάνει
οἰχέσθω πατρός τε δόμον. καὶ ἐς ἤθεα κόλχων.
εἰ δὲ καὶ νυμφιδίοις ὀάροις λέκτρῳ τε κλιθεῖσα.
παρθενίην ἤσχευνεν ἑὸς πόσις ἄμμιν ἀγέσθω.
ὣς ἔφατ'. ἀλκινόῳ δὲ περὶ φρένας ἤλυθε μῦθος.
καί ῥ' οὖν τῷ τάδε πάντα τελευτήσεσθαι ἔμελλεν.
ἀλλ' οὔ οἱ βουλὴ μινύας λάθεν· αἶψα γὰρ ἥρη.
δμωῒ δέμας ἐϊκυῖα θοῶς φάτο καὶ κατένευσε.
νηὸς ἔπι προθοροῦσα τὰ οἱ μήτιον ἄνακτες.
δὴ τότε μηδ' ἐν θαλάμων πορσύνετο λέκτρον.
πρύμνῃ ὑπ' ἀκροτάτῃ περὶ δ' ἐστορίσαντο χαμάνας
ἀμφ' αὐτῇ χρύσειον ἐφαπλώσαντες ἄωτον.
αὐτὰρ ἐπεὶ δοράτεσσιν ἐπαρτήσαντο βοείας.
γάχειά τε κρυπτόν τε γάμων αἰδέσιμον ἔργον.

καὶ τότε παρθενίης νοσφίζετο κούριον ἄνθος,
αἰνόγαμος μήδεια δυσαρκήτοις ὑμεναίοις.
Αὐτὰρ ἐπεὶ βασιλῆος ἀμύμονος ὄψιν ἵκοντο
κόλχοι καὶ μινύαι. καὶ ἐμυθήσαντο ἕκαστοι.
ἐκ δ' ἔλλαχ' αἰσονίδης ἄλοχον μήδειαν ἄγεσθαι.
ἀλκινόου τοὶ δ' ὦ καλόν τ' ἐκπείσματα νηός.
δὴ τόθ' ὑπ' εἰρεσίῃσι θέεν πολυηγόρος ἀργώ.
ἀμπρακίου κόλποιο διαπρήσσουσα κέλευθα.
ἔνθα τί τοι μουσαῖε θεηγενὲς ἐξαγορεύσω,
ὅσσ' ἔπαθον μινύαισιν ὁμοῦ ποτὶ σύρτιν ἀήταις;
ἢ πῶς ἐξεσάωθεν ἁλιπλάκτοιο πορείης.
ὅσσα τ' ἄρ' ἐν κρήτῃ πάθον ἄλγεα τετληῶτες.
χάλκειον τριγίγαντα δοκεύμενοι. ὄφρ' ἱκόμεσθα.
ὅς ῥα οἱ οὐκ εἴα λιμένων ἔντοσθεν ἱκέσθαι.
ἠδ' ὡς στεινόμενοι βαρυηχέϊ κύματι πόντου.
ῥίμφα τε κυανέῃσι βαινόμενοι νεφέλῃσιν,
ἠλπόμεθα σκοπέλοισι μαλαινείοισιν ἱκέσθαι,
νῆα θοήν. παιὰν δ' ἄρ' ἑκηβόλος ἀγχόθεν αἰὲν
δήλου ἀπὸ κραναῆς ἧκεν βέλος. ἐκ δ' ἀνέφηνε
μεσσατίων σποράδων. κραναὴν δέ ἑ πάντες ὀπίσσω
νῆσον ἐπικλήσκουσι περικτίονες ἄνθρωποι.
ἀλλ' οὐ οἱ θέμις ἔσκε διαμπερὲς ἐξ ἁλὸς ἔρξαι
αἰσονίδην. περὶ γὰρ ῥα λύτρον φέρεν. ἆλτο δ' ὀπίσσω
μοιρολογή. κότεεν γὰρ ἐπιφραδέως ὑπερίων.
ἀλλ' ὅθ' ὑπ' εἰρεσίῃσ μαλεώτιδας ἱκόμεθ' ἄκρας,
κίρκης ἐννεσίῃσιν ἀπορρύψεσθαι ἔμελλον,
ἀρὰς αἰήτεω καὶ ἠλιτόποινον ἐριννύν.
δὴ τότ' ἐγὼ μινύαισιν ἐφ' ἱερὰ λύτρα καθαρμῶν,

ῥέξα· καὶ ἐλλισάμην Γαιήοχον Ἐννοσίγαιον,
νόστον ἐπισπομένοις δόμεναι· γλυκερούς τε τοκῆας·
καὶ ῥοῖ μὲν, πλώοντες ἐϋκτιμένην ἐπ' Ἰωλκὸν
θῦνον· εἰγὼ δ' ἱκόμην ἐπὶ ταίναρον ἠνεμόεντα·
ὄφρα κεν ἔντομα ῥέξω ἀγακλειτοῖς βασιλεῦσιν·
οἵ τ' ἄρα νερτερίων βερέθρων κληῗδας ἔχουσιν·
ἔνθεν δ' ὁρμηθεὶς, ἐσσύθην χιονώδεα Θρήκην·
Λειβήθρων ἐς χῶρον· ἐμὴν ἐς πατρίδα γαῖαν·
ἄντρον δ' εἰσεπέρησα περικλυτόν· ἔνθα με μήτηρ
γείνατο ἐν λέκτροις μεγαλήτορος Οἰάγροιο·

## ΟΡΦΕΩΣ, ΑΡΓΟΝΑΥ ΤΙΚΑ·

ταυροπόλον· παντὸς κόσμου κληδοῦχον ἄνασσαν·
ἡγεμόνην νύμφην· κουροτρόφον· οὐρεσιφοῖτιν·
λισσομένοις κούρην τελεταῖς ὁσίαισι παρεῖναι·
βουκόλῳ εὐμενέουσαν ἀεὶ κεχαρηότι θυμῷ·

## ΤΟΥ ΑΥΤΟΥ. ΥΜΝΟΙ·

Προθυραίας θυμίαμα, στύρακα·

λῦθί μοι ὦ πολύσεμνε θεὰ· πολυώ-
νυμε δαῖμον·
ὠδίνων ἐπαρωγέ· λεχῶν ἡδεῖα πρόσοψι·
θηλειῶν σώτειρα· μόνη φιλόπαις ἀγανόφρον·
ὠκυλόχεια· παροῦσα νέαις θνητῶν προθυραία·
κληδοῦχ' εὐάντητε, φιλότροφε, πᾶσι προσηνής·
ἣ κατέχεις οἴκους πάντων· θαλίαις τε γέγηθας·
λυσίζων' ἀφανής· ἔργοισι δὲ φαίνῃ ἅπασι·
συμπάσχεις ὠδῖσι, καὶ εὐτοκίῃσι γέγηθας·
ἐλύθυια λύουσα πόνους δειναῖς ἐν ἀνάγκαις·
μούνην γάρ σε καλοῦσι λεχοὶ, ψυχῆς ἀνάπαυμα·
ἐν γάρ σοι τοκετῶν λυσιπήμονες εἰσὶν ἀνῖαι·
ἄρτεμις ἐλύθυια καὶ ἡ σεμνὴ προθυραία·
κλῦθι μάκαιρα· δίδου δὲ γονὰς ἐπαρωγὸς ἐοῦσα·
καὶ σῶζ' ὥσπερ ἔφυς ἀεὶ σώτειρα προπάντων·

Νυκτὸς θυμίαμα, δαλούς·

ύκτα θεῶν γενέτειραν ἀείσομαι· ἠδὲ
καὶ ἀνδρῶν·
νὺξ γένεσις πάντων· ἣν καὶ κύπριν καλέσωμεν·
κλῦθι μάκαιρα θεά· κυαναυγὴς ἀστεροφεγγής·
ἡσυχίῃ χαίρουσα, καὶ ἠρεμίῃ πολυύπνῳ·
εὐφροσύνη· τερπνή· φιλοπάννυχε, μῆτερ ὀνείρων·

ληθομέριμν' ἀγαθή τε, πόνων ἀνάπαυσιν ἔχουσα·
ὑπνοδότειρα· φίλη πάντων· ἐλάσιππε νυχαυγής·
ἡμιτελής· χθονία· ἠδ' οὐρανία πάλιν αὐτή·
ἐγκυκλία· παίκτειρα· διώγμασιν ἠεροφοίτοις·
ἣ φάος ἐκπέμπεις ὑπὸ νέρτερα· καὶ πάλι φεύγεις·
εἰς ἀΐδην· δεινὴ γὰρ ἀνάγκη πάντα κρατύνει·
νῦν σε μάκαιρα νὺξ πολυόλβιε πᾶσι ποθεινή·
εὐάντητε· κλύουσα λόγων ἱκετηρίδα φωνήν·
ἔλθοις εὐμενέουσα· φόβους δ' ἀπόπεμπε νυχαυγεῖς·

## Οὐρανοῦ θυμίαμα, λίβανον·

υρανὲ παγγενέτωρ· κόσμου μέρος αἰὲν ἀτειρές·
πρεσβυγένεθλ' ἀρχὴ πάντων· πάντων τε τελευτή·
κόσμε πατήρ· σφαιρηδὸν ἑλισσόμενος περὶ γαῖαν·
οἶκε θεῶν μακάρων· ῥόμβου δίναισιν ὁδεύων·
οὐράνιος· χθόνιός τε· φύλαξ πάντων περιβληθείς·
ἐν στέρνοισιν ἔχων φύσεως ἄτλητον ἀνάγκην·
κυανόχρως· ἀδάμαστε· παναίολε· αἰολόμορφε·
πανδερκές· κρονότεκνε· μάκαρ πανυπέρτατε δαῖμον·
κλῦθ' ἐπάγων ζωὴν ὁσίαν μύστῃ νεοφάντῃ·

## Αἰθέρος θυμίαμα, κρόκον·

Διὸς ὑψιμέλαθρον ἔχων κράτος αἰὲν ἀτειρές·
ἄστρων ἠελίου τε σεληναίης τε μέρισμα·
πανδαμάτωρ· πυρίπνου· πᾶσι ζωοῖσιν ἔναυσμα·
ὑψιφανὴς αἰθήρ, κόσμου στοιχεῖον ἄριστον·
ἀγλαὸν ὦ βλάστημα· σελασφόρον ἀστεροφεγγές·
κικλήσκων λίτομαί σε, κεκραμένον εὔδιον εἶναι·

Πρωτογόνου θυμίαμα, σμύρναν.

ρωτογόνον καλέω διφυῆ μέγαν
αἰθερόπλαγκτον·
ᾠογενῆ· χρυσέαισιν ἀγαλλόμενον πτερύγεσσιν·
ταυροβόαν· γένεσιν μακάρων θνητῶν τ' ἀνθρώπων·
ὅστε πολύμνηστον πολυόργιον εὕρηκε παῖαν·
ἄρρητον· κρύφιον ῥοιζήτορα· παμφαὲς ἔρνος·
ὄσσων ἐς σκοτόεσσαν ἀπημαύρωσας ὀμίχλην·
πάντη διννήεις πτερύγων ῥιπαῖς κατὰ κόσμον,
λαμπρὸν ἄγων φάος ἁγνόν· ἀφ' οὗ σε φάνητα κικλήσ
ἠδ' ἐπρίηπον ἄνακτα· καὶ ἀνταυγῆ ἑλίκωπον· κω·
ἀλλὰ μάκαρ πολύμητι· πολύσπορε· βαῖνε γεγηθὼς
ἐς τελετὴν ἁγίαν πολυποίκιλον ὀργιοφάνταις.

Ἄστρων θυμίαμα, ἄρωμα.

στρων οὐρανίων ἱερὸν σέλας ἐκπρο-
καλοῦμαι·
εὐιέραις φωναῖσι κικλήσκων δαίμονας ἁγνούς·
ἀστέρες οὐράνιοι, νυκτὸς φίλα τέκνα μελαίνης·
ἐγκυκλίοις δίνασι περιθρόνια κυκλέοντες·
ἀνταυγεῖς πυρόεντες· ἀεὶ γενετῆρες ἁπάντων·
μοιρίδιοι · πάσης μοίρης σημάντορες ὄντες·
θνητῶν ἀνθρώπων θείαν διέποντες ἀταρπόν·
ἑπταφαεῖς ζώνας ἐφορώμενοι ἠερόπλαγκτοι·
οὐράνιοι · χθόνιοί τε· πυρίδρομοι· αἰὲν ἀτειρεῖς·
αὐγάζοντες ἀεὶ νυκτὸς ζοφοειδέα πέπλον·
μαρμαρυγαῖς στίλβοντες εὔφρονες εὐνύχιοί τε·
ἔλθετ' ἐπ' εὐιέρου τελετῆς πολυΐστορας ἄθλους·
ἐσθλοὶ ἐπ' ἐνδόξοις ἔργοις δρόμον ἐκτελέοντες·

Ἡλίου θυμίαμα, λιβανομάνναν.

λῦθι μάκαρ· πανδερκὲς ἔχων
αἰώνιον ὄμμα·
τιτὰν χρυσαυγὴς· ὑπερίων· οὐράνιον φῶς·
αὐτοφυὴς· ἀκάμα· ζώων ἡδεῖα πρόσοψι·
δεξιὲ μὲν γενέτωρ ἠοῦς· εὐώνυμε νυκτός·
κρᾶσιν ἔχων· ὡρῶν· τετραβάμοσι ποσσὶ χορεύων·
ἔυδρομε· ῥοιζωτὴρ· πυρόεις· φαιδρωπὲ· διφρευτά·
ῥόμβου ἀπειρεσίου δινεύμασιν οἶμον ἐλαύνων·
ἐυσεβέσιν καθοδηγὲ καλῶν· δυσμενὴς ἀσεβοῦσι·
χρυσολύρη· κόσμου τὸν ἐναρμόνιον δρόμον ἕλκων·
ἔργων σημάντωρ ἀγαθῶν, ὡροτρόφε κοῦρε· τε·
κοσμοκράτωρ· συρικτὰ· πυρίδρομε· κυκλοέλικ
φωσφόρε· αἰολίδικτε· φερέσβιε· κάρπιμε, παιάν·
αἰθαλὶς· ἀμύαντε· χρόνου πέρων· ἀθάνατε ζεῦ·
ἔυδιε παμφαὴ· κόσμου τὸ περίδρομον ὄμμα·
σβεννύμενον λάμπων τε καλαῖς ἀκτῖσι φαειναῖς·
δεῖκτα δικαιοσύνης· φιλονάματε, δέσποτα κόσμου·
πιστοφύλαξ· αἰὲν πανυπέρτατε· πᾶσιν ἀρωγέ·
ὄμμα δικαιοσύνης· ζωῆς φῶς· ὦ ἐλάσιππε·
μάστιγι λιγυρῇ τετράορον ἅρμα διώκων·
κλῦθι λόγων· ἡδὼν δὲ βίον μύστησι πρόφαινε·

Σελήνης θυμίαμα, ἀρώματα.

λῦθι θεὰ βασίλεια· φαεσφόρε· δῖα
σελήνη·
ταυρόκερως μήνη· νυκτιδρόμε, ἠεροφοῖτι·
ἐν νυχία δᾳδοῦχε· κόρη ἐυάστερε μήνη·

αὐξομένη καὶ λειπομένη· θῆλυς τε καὶ ἄρσην·
αὐγήτειρα· φίλιππε· χρόνου μήτηρ· φερέκαρπε·
ἠλεκτρὶς βαρύθυμε· καταυγάστειρα νυχία·
πανδερκὴς· φιλάγρυπνε· καλοῖς ἄστρασι βρύουσα·
ἡσυχία χαίρουσα καὶ εὐφροσύνῃ ὀλβιομοίρῳ·
λαμπετίη· χαροδῶτι· τελεσφόρε· νυκτὸς ἄγαλμα·
ἀστράρχη· τανύπεπλ', ἑλικόδρομε πάνσοφε κούρη·
ἐλθὲ μάκαιρ' εὔφρων εὐάστερε φέγγεϊ τῷ σῷ·
λαμπομένη σώζουσα τεοὺς ἱκέτας ἐσλὸ κούρη·

Φύσεως θυμίαμα, ἀρώματα·

φύσι παμμήτειρα θεὰ πολυμήχανε
μῆτερ·
οὐρανία· πρέσβειρα· πολύκτιτε δαῖμον ἄνασσα·
πανδαμάτωρ ἀδάματε· κυβερνήτειρα, παναυγὴς·
παντοκράτειρα· τετιμένα· πανυπέρτατε πᾶσιν·
ἄφθιτε· πρωτογένεια· παλαίφατε· κυδιάνειρα·
ἐννυχία· πολύτειρε· σελασφόρε· δεινοκάθεκτε·
ἄψοφον ἀστραγάλοισι ποδῶν ἴχνος εἱλίσσουσα·
ἁγνὴ κοσμήτειρα θεῶν, ἀτελής τε τελευτή
κοινὴ μὲν πάντεσσιν· ἀκοινώνητε δὲ μούνη·
αὐτοπάτωρ ἀπάτωρ, ἐρατὴ πολυγηθὲ μεγίστη·
εὐάνθεια πλοκὴ· φιλία· πολυμικτε· δαῖμον·
ἡγεμόνη· κράντειρα, φερέσβιε· παντρόφε κούρη·
αὐτάρκεια· δίκη· χαρίτων πολυώνυμε πειθώ·
αἰθερία· χθονίη· καὶ εἰναλία μεδέουσα·
πικρὰ μὲν φαύλοισι· γλυκεῖα δὲ πειθομένοισι·
πάνσοφε· πανδώτειρα· κομίστρια· παμβασίλεια

αὐξιτρόφος πίειρα· πεπαινομένων δὲ λύτειρα·
πάντων μὲν σὺ πατὴρ· μήτηρ· τροφὸς· ἠδὲ τιθηνὸς·
ὠκυλόχεια· μάκαιρα· πολύσπορος· ὡριὰς· ὁρμὴ·
παντοτεχνὲς· πλάστειρα· πολύκτιστε· πότνια δαῖ-
ἀιδία κινησίφορε· πολύπειρε· περίφρων· μον·
ἀενάῳ στροφάλιγγι θοὸν ῥύμα δινεύουσα·
πάνρυτε· κυκλοτερὴς, ἀλλοτριομορφοδίαιτε·
εὔθρονε τιμήεσσα· μόνη τὸ κριθὲν τελέουσα·
σκηπτούχων ἐφύπερθε· βαρυβρεμέτειρα κρατίστη·
ἄτρομε· πανδαμάτειρα· πεπρωμένη αἶσα πυρίπ
ἀίδιος ζωὴ· ἠδ᾽ ἀθανάτη τε πρόνοια· νους·
πάντα σοὶ ἐστὶ· τὰ πάντα σὺ γὰρ τάδε μούνη τεύχ
ἀλλὰ θεὰ λίτομαί σε σὺν εὐόλβοισιν ἐν ὥραις, εις·
εἰρήνην ὑγίειαν ἄγειν, αὔξησιν ἁπάντων·

Πανὸς θυμίαμα, ποικίλα·

ᾶνα καλῶ κρατερὸν, κόσμοιο τὸ
σύμπαν·

οὐρανὸν, ἠδὲ θάλασσαν, ἰδὲ χθόνα παμβασίλειαν·
καὶ πῦρ ἀθάνατον· τάδε γὰρ μέλη ἐστὶ τὰ πανός·
ἐλθὲ μάκαρ σκιρτητὰ περίδρομε, σύνθρονε ὥραις·
αἰγομελὲς· βακχευτὰ· φιλένθεε· ἀστροδίαιτε·
ἁρμονίαν κόσμοιο κρέκων φιλοπαίγμονι μολπῆ·
φαντασιῶν ἐπαρωγὲ· φόβων ἔκπαγλε βροτείων·
αἰγονόμοις χαίρων ἀνὰ πίδακας, ἠδέ τε βούταις·
εὔσκοπε· θηρητὴρ· ἠχοῦς φίλε· σύγχορε νυμφῶν·
παντοφυὴς· γενέτωρ πάντων πολυώνυμε δαῖμον·
κοσμοκράτωρ· αὐξητὰ· φαεσφόρε· κάρπιμε παι
ἀντροχαρὲς· βαρύμηνις· ἀληθὴς ζεὺς ὁ κεράστης· αν·

σοὶ γὰρ ἀπειρέσιον γαίης πέδον ἐστήρικται.
εἴκει δ' ἀκαμάτου πόντου τὸ βαθύσπορον ὕδωρ.
ὠκεανός τε πέριξ ἐν ὕδασι γαῖαν ἑλίσσων.
ἀέριόν τε μέρισμα. τροφῆς ζωοῖσιν ἔναυσμα.
καὶ κορυφῆς ἐφύπερθεν ἐλαφρότατον πυρὸς ὄμμα.
βαίνει γὰρ τάδε θεῖα πολύκριτα. σαῖσιν ἐφετμαῖς.
ἀλλάσσεις δὲ φύσεις πάντων ταῖς σαῖσι προνοίαις.
βόσκων ἀνθρώπων γενεὴν κατ' ἀπείρονα κόσμον.
ἀλλὰ μάκαρ βακχευτὰ φιλένθεε. βαῖν' ἐπὶ λοιβαῖς
εὐιέροις. ἀγαθὴν δ' ὄπασον βιότοιο τελευτὴν.
πανικὸν ἐκπέμπων οἶστρον, ἐπὶ τέρματα γαίης.

Ἡρακλέος θυμίαμα, λίβανον.

ράκλες ὀβριμόθυμε. μεγασθενὲς ἄλκι-
με. τιτάν.
καρτερόχειρ. ἀδάμαστε. βρύων ἄθλοισι κραταιοῖς.
αἰολόμορφε. χρόνου πάτερ. ἀίδιέ τε εὔφρων.
ἄρρητ' ἀγριόθυμε. πολύλλιτε. παντοδυνάστα.
παγκρατὲς ἦτορ ἔχων. κάρτος μετὰ τόξα καὶ μάντι.
παμφάγε. παγγενέτωρ. πανυπέρτατε. πᾶσιν ἀρωγὲ.
ὃς θνητοῖς κατέπαυσας ἀνήμερα φῦλα διώξας. γέ.
ἐρήνην ποθέων κουροτρόφον ἀγλαότιμον.
αὐτοφυὴς. ἀκάμας. γαίης βλάστημα φέριστον.
πρωτογόνοις στράψας φολίσι μεγαλώνυμε παιών.
ὃς περὶ κρατὶ φορεῖς ἠῶ. καὶ νύκτα μέλαιναν.
δώδεκ' ἀπ' ἀντολιῶν ἄχρι δυσμῶν ἆθλα διέρπων.
ἀθανάτοις πολύπειρος. ἀπείριτος. ἀστυφέλικτος.
ἐλθὲ μάκαρ νούσων θελκτήρια πάντα κομίζων.
ἐξέλασον δὲ κακὰς ἄτας, κλάδον ἐν χερὶ πάλλων.

πτηνοῖς τ' ἰοβόλοις κῆρας χαλεπὰς ἐπίπεμπε·

Κρόνου θυμίαμα, στύρακα.

ἴθαλὴς μακάρων τε θεῶν πάτερ, ἠδὲ
καὶ ἀνδρῶν· Τὰν·
ποικιλόβουλ'· ἀμίαντε· μεγασθενὲς· ἄλκιμε· τὶ
ὃς δαπανᾷς μὲν ἅπαντα· καὶ αὔξεις ἔμπαλιν αὐτὸς
δεσμοὺς ἀρρήτους ὃς ἔχεις κατ' ἀπείρονα κόσμου·
αἰῶνος κρόνε παγγενέτωρ· κρόνε ποικιλόμυθε·
γαίης τε βλάστημα· καὶ οὐρανοῦ ἀστερόεντος·
γέννας φυή· μείωσι· ῥέας πόσι· σεμνὲ προμηθεῦ·
ὃς ναίεις κατὰ πάντα μέρη κόσμοιο γενάρχα·
ἀγκυλομῆτα φέριστε· κλύων ἱκετηρίδα φωνὴν·
πέμποις εὔολβον βιότου τέλος αἰὲν ἄμεμπτον·

Ῥέας θυμίαμα ἀρώματα.

ὄτνα ῥέα· θύγατερ πολυμόρφου
πρωτογόνοιο·
ἥ τε ἐπὶ ταυροφόρου ἱερότροχον ἅμα τιταίνεις· ρη·
Τυμπανόδουπε· φιλοιστρομανὲς· χαλκόκροτε κού
πάντιμ'· ἀγλαόμορφε· κρόνου σύλλεκτρε μάκαιρα·
οὔρεσιν ἣ χαίρεις· θνητῶν τ' ὀλολύγμασι φρικτοῖς·
παμβασίλεια ῥέα· πολεμόκλονε· ὀβριμόθυμε·
ψευδομένη σώτειρα· λυτηρίας ἀρχιγένεθλε·
μήτηρ μέν τε θεῶν· ἠδὲ θνητῶν ἀνθρώπων·
ἐκ σοῦ γὰρ καὶ γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν·
καὶ πόντος· πνοιαί τε· φιλόδρομε ἀερόμορφε·
ἐλθὲ μάκαιρα θεὰ σωτήριος εὔφρονι βουλῇ·
εἰρήνην κατάγουσα σὺν εὐόλβοις κτεάτεσσι·

λύματα καὶ κῆρας πέμπουσ' ἐπὶ τέρματα γαίης·

Διὸς θυμίαμα, στύρακα.

Ζεῦ πολύτιμε. Ζεῦ ἄφθιτε. τήνδε τοι πολυμητίετα
ἡμεῖς
μαρτυρίαν τίθεμεσθα. λυτήριον ἡ δ' ἐ πρόσαξιν.
ὦ βασιλεῦ. διὰ σὴν κεφαλὴν, ἐφάνη τὰ δερεῖα.
γαῖα θεὰ μήτηρ. ὀρέων θ' ὑψηχέες ὄχθοι.
καὶ πόντος. καὶ πάνθ' ὁπόσ' οὐρανὸς ἐντὸς ἔταξε.
Ζεῦ κρόνιε. σκηπτοῦχε. καταιβάτα. ὀβριμόθυμε.
παντογένεθλ'. ἀρχὴ πάντων. πάντων τε τελευτή.
σεισίχθων. αὐξητὰ. καθάρσιε. παντοτινάκτα.
ἀστραπαῖε. βρονταῖε. κεραύνιε. φυτάλμιε Ζεῦ. φυτάλιμε
κλῦθί μου αἰολόμορφε. δίδου δ' εὐγέαν ἀμεμφῆ. δ' ὑγίαν
εἰρήνην τε θεὰν, καὶ πλούτου δόξαν ἄμεμπτον.

Ἥρας θυμίαμα, ἀρώματα.

ναμέοις κόλποισιν ἐνημένη ἀερόμορφε.
Ἥρα παμβασίλεια. Διὸς σύλλεκτρε μάκαιρα.
ψυχοτρόφους αὔρας θνητοῖς παρέχουσα προσηνεῖς.
ὄμβρων μὲν μήτηρ. ἀνέμων τροφὲ. παντογένεθλε.
χωρὶς γὰρ σέθεν, οὐδὲν ὅλως ζωῆς φύσιν ἔγνω.
κοινωνεῖς γὰρ ἅπασι κεκραμένη ἠέρι σεμνῷ.
πάντων γὰρ κρατέεις μούνη. πάντεσσί τ' ἀνάσσεις.
ἠερίοις ῥοίζοισι τινασσομένη κατὰ χεῦμα.
ἀλλὰ μάκαιρα θεὰ πολυώνυμε παμβασίλεια,
ἔλθοις εὐμενέουσα καλῷ γήθοντι προσώπῳ.

Ποσειδῶνος θυμίαμα, σμύρναν.

λῦθι ποσείδαον γαιήοχε κυανο-
χαῖτα.
ἵππιε. χαλκοτόρευτον ἔχων χείρεσσι τρίαιναν.
ὃς ναίεις πόντοιο βαθυστέρνοιο θέμεθλα.
ποντομέδων. ἁλίδουπε. βαρύκτυπε. ἐννοσίγαιε.
κυμοθαλής. χαριτῶπα. τετράορον ἅρμα διώκων.
εἰναλίοις ῥοίζοισι τινάσσων ἁλμυρὸν ὕδωρ.
ὃς τριτάτης ἔλαχες μοίρης βαθὺ χεῦμα θαλάσσης.
κύμασι τερπόμενος, θηρσίν θ' ἅμα πόντιε δαῖμον.
ἕδρανα γῆς σώζοις καὶ νηῶν εὔδρομον ὁρμήν.
εἰρήνην ὑγίειαν ἄγων, ἠδ' ὄλβον ἀμεμφῆ.

Εἰς τυφῶνα.

τὸν ὑποχθόνιον ναίων δόμον ὀβρι-
μόθυμε.
ταρτάριον λειμῶνα βαθύσκιον ἠδὲ λιπαυγῆ.
ζεῦ χθόνιε σκηπτοῦχε, τάδ' ἱερὰ δέξο προθύμως.
πλούτων ὃς κατέχεις γαίης κληῖδας ἁπάσης.
πλουτοδοτῶν γενεὴν βροτέην καρποῖς ἐνιαυτῶν.
ὃς τριτάτης μοίρης ἔλαχες χθόνα παμβασίλειαν.
ἕδραν ἀθανάτων. θνητῶν στήριγμα κραταιόν.
ὃς θρόνον ἐστήριξας ὑπὸ ζοφοειδέα χῶρον.
τηλεπόρον τ' ἀκάμαντα λιπόπνοον ἄκριτον ἅδην.
κυάνεον τ' ἀχέρονθ' ὃς ἔχει ῥιζώματα γαίης.
ὃς κρατέεις θνητῶν θανάτου χάριν ὦ πολυδαῖμον.
εὔβουλ'. ἁγνοπόλου δημήτερος ὅσποτε παῖδα,
νυμφεύσας λειμῶνος ἀποσπαδὰν διὰ πόντου,
τετρώροις ἵπποισιν ὑπ' ἀτθίδος ἤγαγες ἄντρον,

δήμου ἐλευσῖνος. τόθι περ πύλαι εἰς αΐδαο.
μοῦνος ἔφυς ἀφανῶν ἔργων φανερῶν τε βραβευτής.
ἔνθεε. παντοκράτωρ. ἱερώτατε. ἀγλαότιμε.
σεμνοῖς μουσοπόλοις χαίρων ὁσίοις τε σεβασμοῖς.
ἵλαον ἀγκαλέω σε μολεῖν κεχαρηότα μύσταις.

Κεραυνίου Διὸς θυμίαμα, στύρακα.

εὖ πάτερ ὑψίδρομον πυραυγέα κόσμον
ἐλαύνων,
στράπτων αἰθερίου στεροπῆς παμυπέρτατον αἴγλην.
παμμακάρων ἕδρανον θείαις βρονταῖσι τινάσσων.
νάμασι παννεφέλοις στεροπὴν φλεγέθουσαν ἀναίθων.
λαίλαπας. ὄμβρους. πρηστῆρας, κρατέρους τε κεραυ
βάλλων ἐς ῥοθίους φλογερούς. βελέεσσι καλύπτων, νοὺς
παμφλέκτους. κρατερούς, φρικώδεας. ὀβριμόθυμ
πτηνὸν ὅπλον δεινόν. χρονοκάρδιον. ὀρθοέθειρον. ους
αἰφνίδιον. βρονταῖον. ἀνίκητον βέλος ἁγνόν.
ῥοίζου ἀπειρεσίου δινεύμασι παμφάγον ὁρμῇ.
ἄρρηκτον βαρύθυμον. ἀμαιμάκετον. πρηστῆρος
οὐρανίου βέλος ὀξὺ καταιβάτου αἰθαλόεντος.
ὃν καὶ γαῖα πέφρικε θάλασσά τε παμφανόωσα.
καὶ θῆρες πτήσσουσιν, ὅταν κτύπος οὖας ἐσέλθῃ.
μαρμαίρει δὲ πρόσωπ' αὐγαῖς. σμαραγεῖ δὲ κεραυ
αἰθέρος ἐν γυάλοισι. διαρρήξας δὲ χιτῶνα. νός.
οὐρανίου προκάλυμμα βάλλεις ἀργῆτα κεραυνόν.
ἀλλὰ μάκαρ θυμὸν ὄβριμον ἔμβαλε κύμασι πόντου.
ἠδ' ὀρέων κορυφαῖσι. τὸ σὸν κράτος οἴσμεν ἅπαντες.
ἀλλὰ χάριν λοιβαῖσι δίδου. φρεσὶν αἴσιμα πάντα
ζωήν τ' ὀλβιόθυμον. ὁμοῦ θ' ὑγείαν ἄνασσαν.

καὶ βίον εὐθύμοισιν ἀεὶ θάλλοντα λογισμοῖς ·

Διὸς ἀστραπέως θυμίαμα, λίβανον μάνναν ·

ικλήσκω μέγαν ἁγνὸν ἐρισμάραγον περί
φαντον ·
ἀέριον · φλογόεντα · πυρίδρομον · ἀεροφεγγῆ ·
ἀστράπτοντα σέλας νεφέων παταγοδρόμῳ αὐδῇ ·
φρικώδη · βαρύμηνιν · ἀνίκητον θεὸν ἁγνόν ·
ἀστραπέα δία · παγγενέτην · βασιλῆα μέγιστον ·
εὐμενέοντα φέρειν γλυκερὴν βιότοιο τελευτήν ·

Νεφῶν θυμίαμα, σμύρναν ·

έριοι νεφέλαι · καρποτρόφοι οὐρανόπλαγκτοι ·
ὀμβροτόκοι · πνοιαῖσιν ἐλαυνόμεναι κατὰ κόσμον ·
βρονταῖαι · πυρόεσσαι · ἐρίβρομοι · ὑδροκέλευθοι ·
ἀέρος ἐν κόλπῳ πάταγον φρικώδη ἔχουσαι
πνεύμασιν ἀντίσπαστοι ἐπιδρομάδην παταγεῦσαι ·
ὑμᾶς νῦν λίτομαι δροσοείμονες εὔπνοοι αὔραις ·
πέμπειν καρποτρόφους ὄμβρους ἐπὶ μητέρα γαῖαν ·

Θαλάσσης θυμίαμα λίβανον μάνναν ·

κεανοῦ καλέω νύμφην γλαυκώπιδα τηθύν ·
κυανόπεπλον ἄνασσαν ἐύτροχα κυμαίνουσαν ·
αὔραις ἡδυπνόοισι πατασσομένην περὶ γαῖαν ·
θραύουσ᾽ αἰγιαλοῖσι πέτρῃσί τε κύματα μακρά
εὐδείνοις ἁπαλοῖσι γαληνιόωσα δρόμοισι
ναυσὶν ἀγαλλομένη · θηροτρόφε · ὑγροκέλευθε ·
μήτηρ μὲν κύπριδος · μήτηρ νεφέων ἐρεβεννῶν ·
καὶ πάσης πηγῆς νυμφῶν νασμοῖσι βρυούσης ·
κλῦθί μου ὦ πολύσεμνε καὶ εὐμενέουσ᾽ ἐπαρήγοις ·
εὐθυδρόμοις οὖρον ναυσὶν πέμπουσα μάκαιρα ·

Νηρέως θυμίαμα, σμύρναν.

κατέχων πόντου ῥίζας κυαναυ-
γέτιν ἕδρην.
πεντήκοντα κόραισιν ἀγαλλόμενος κατὰ κῦμα.
καλλιτέκνοισι χοροῖς. νηρεῦ μεγαλώνυμε δαῖμον.
πυθμὴν μὲν πόντου. γαίης πέρας. ἀρχὴ ἁπάντων.
ὃς κλονέεις δηοῦς ἱερὸν βάθρον, ἡνίκα πνοιὰς
ἐν μυχίοις κευθμῶσιν ἐλαυνομένας ἀποκλείοις.
ἀλλὰ μάκαρ. σεισμοὺς μὲν ἀπότρεπε. πέμπε δὲ
ὄλβον τ' εἰρήνην τε καὶ ὀλβιόχειρον ὑγείην. μύσταις.

Νηρηΐδων θυμίαμα, ἀρώματα.

ηρέως εἰναλίου νύμφαι καλυκώπιδες
ἁγναί.
σφραγίαι. βύθιαι. χαροπαίγμονες. ὑγροκέλευθοι.
πεντήκοντα κόραι περὶ κύμασι βακχεύουσαι.
τριτώνων ἐπ' ὄχοισιν ἀγαλλόμεναι περὶ νῶτα.
θηροτύποις μορφαῖς ὧν βόσκει σώματα πόντος.
ἄλλοι θ' οἳ ναίουσι βυθὸν τριτώνιον οἶδμα.
ὑδρόδομοι σκιρτηταί. ἑλισσόμενοι περὶ κῦμα.
ποντοπλάνοι δελφῖνες ἁλιρρόθιοι κυαναυγεῖς.
ὑμᾶς κικλήσκω πέμπειν μύσταις πολὺν ὄλβον.
ὑμεῖς γὰρ πρῶται τελετὴν ἀνεδείξατε σεμνὴν.
εὐίερον βάκχοιο. καὶ ἁγνῆς φερσεφονείης.
καλλιόπῃ σὺν μητρὶ καὶ ἀπόλλωνι ἄνακτι.

Πρωτέως θυμίαμα, στύρακα.

ρωτέα κικλήσκω, πόντου κληῖδας ἔχοντα.
πρωτογενῆ. πάσης φύσεως ἀρχὰς ὃς ἔφηνεν.
ὕλην ἀλλάσσων ἱερὴν ἰδέαις πολυμόρφοις.

πάντιμος· πολύβουλος· ἐπιστάμενος τά τε ὄντα,
ὅσα τε πρόσθεν ἔην· ὅσα τ' ἔσεται ὕστερον αὖτις·
πάντα γὰρ πρωτῇ πρώτη φύσις ἐγκατέθηκεν·
ἀλλὰ πάτερ μόλε μυστιπόλοις ὁσίαισι προνοίαις,
πέμπων ὄλβου βιότου τέλος ἐσθλὸν ἐπ' ἔργοις·

Γῆς θυμίαμα, πᾶν σπέρμα· πλὴν κυάμων καὶ ἀρωμάτων·

αῖα θεὰ· μῆτερ μακάρων θνητῶν τ' ἀνθρώπων·
πάντροφε· πανδώτειρα· τελεσφόρε· παντολέτειρα·
αὐξιθαλὴς· φερέκαρπε· καλαῖς ὥραισι βρύουσα·
ἕδρανον ἀθανάτου κόσμου πολυποίκιλε κούρη·
ἣ λοχίαις ὠδῖσι κύεις καρπὸν πολυειδῆ·
ἀιδία· πολύσεπτε· βαθύστερν' ὀλβιόμοιρε·
ἡδυπνόοις χαίρουσα χλόαις πολυανθέσι δαῖμον·
ὀμβροχαρὴς· περὶ ἣν κόσμος πολυδαίδαλος ἄστρων,
εἱλεῖται φύσει ἀενάῳ καὶ ῥεύμασι δεινοῖς·
ἀλλὰ μάκαιρα θεὰ· καρποὺς αὔξοις πολυγηθεῖς·
εὐμενὲς ἦτορ ἔχουσα σὺν ὀλβίοισιν ἐν ὥραις·

Μητρὸς θεῶν θυμίαμα, ποικίλα·

θανάτων θεότιμε θεῶν μῆτερ τροφὲ πάντων·
τῇδε μόλοις κράντειρα θεά, σέο πότνι' ἐπ' εὐχαῖς·
ταυροφόνων ζεύξασα ταχύδρομον ἅρμα λεόντων·
σκηπτοῦχε κλεινοῖο πόλου· πολυώνυμε σεμνή·
ἣ κατέχεις κόσμοιο μέσον θρόνον· οὕνεκεν αὐτὴ
γαῖαν ἔχεις· θνητοῖσι τροφὰς παρέχουσα προσηνεῖς·
ἐκ σέο δ' ἀθανάτων τε γένος θνητῶν τ' ἐλοχεύθη·

σοὶ ποταμοὶ κρατέονται ἀεὶ καὶ πᾶσα θάλασσα·
ἑστία αὐδαχθεῖς· σὲ δ᾽ ὀλβοδότιν καλέουσι·
παντοίων ἀγαθῶν θνητοῖς ὅτι δῶρα χαρίζῃ·
ἔρχεο πρὸς τελετὴν ὦ πότνια τυμπανοτερπὴ·
πανδαμάτωρ· φρυγίης σώτειρα· κρόνου συνόμευνε·
οὐρανόπαι· πρέσβειρα· βιοθρέπτειρα· φίλοιστρε·
ἔρχεο γηθόσυνος κεχαρισμένη εὐσεβίῃσιν·

Ἑρμοῦ θυμίαμα λίβανον·

λῦθί μου ἑρμεία διὸς ἄγγελε· μαιά-
δος υἱέ·

παγκρατὲς ἦτορ ἔχων· ἐναγώνιε· κοίρανε θνητῶν·
εὔφρων· ποικιλόβουλε· διάκτορε· ἀργειφόντα·
πτηνοπέδιλε· φίλανδρε· λόγου θνητοῖσι προφῆτα·
γυμνάσιν ὃς χαίρεις· δολίαις τ᾽ ἀπάταις τροφιοῦχε·
ἑρμηνεῦ πάντων· κερδέμπορε· λυσιμέριμνε·
ὃς χείρεσσιν ἔχεις εἰρήνης ὅπλον ἀμεμφές·
τῶ ὀρφ· ἐν ᾧ αἱ μοῦσαι ἐτιμῶντο ὥσπερ καὶ ἐν τῷ ἑλικῶ
κωρυκιῶτα μάκαρ, ἐριούνιε· ποικιλόμυθε· μι·
ἐργασίαις ἐπαρωγέ· φίλε θνητοῖς ἐν ἀνάγκαις·
γλώσσης δεινὸν ὅπλον· τὸ σεβάσμιον ἀνθρώποισι·
κλῦθί μου εὐχομένου· βιότου τέλος ἐσθλὸν ὀπάζων·
ἐργασίαισι· λόγου χάρισιν καὶ μνημοσύνῃσιν·

Ὕμνος περσεφόνης·

ερσεφόνη θύγατερ μεγάλου διὸς ἐλθὲ
μάκαιρα·

μουνογένεια θεά· κεχαρισμένα δ᾽ ἱερὰ δέξαι·
πλούτωνος πολύτιμε δάμαρ· κεδνὴ βιοδῶτι·
ἣ κατέχεις ἀίδαο πύλας· ὑπὸ κεύθεα γαίης·

πραξιδίκη· ἐρατοπλόκαμε· δηοῦς θάλος ἁγνόν·
εὐμενίδων γενέτειρα· ὑποχθονίων βασίλεια·
ἣν ζεὺς ἀρρήτοισι γοναῖς τεκνώσατο κούρην·
μῆτερ ἐριβρεμέτου πολυμόρφου εὐβουλῆος·
ὡρῶν συμπαίκτειρα· φαεσφόρε· ἀγλαόμορφε·
σεμνή· παντοκράτειρα· κόρη καρποῖσι βρύουσα·
εὐφεγγής· κερόεσσα· μόνη θνητοῖσι ποθεινή·
εἰαρινή· λειμωνιάσιν χαίρουσα πνοῇσιν·
ἱερὸν ἐκφαίνουσα δέμας βλαστοῖς χλοοκάρποις·
ἁρπαγιμαῖα λέχη μετοπωρινὰ νυμφευθεῖσα·
ζωὴ καὶ θάνατος μούνη θνητοῖς πολυμόχθοις,
φερσεφόνη· φέρβεις γὰρ ἀεὶ καὶ πάντα φονεύεις·
κλῦθι μάκαιρα θεά· καρποὺς δ' ἀνάπεμπ' ἀπὸ γαίης
εἰρήνῃ θάλλουσα καὶ ἠπιοχείρῳ ὑγιείᾳ· κε·
καὶ βίῳ εὐόλβῳ, λιπαρὸν γῆρας κατάγοντι·
πρὸς σὸν χῶρον ἄνασσα καὶ εὐδύνατον πλούτωνα·

Διονύσου θυμίαμα, στύρακα·

κικλήσκω διόνυσον ἐρίβρομον
εὐαστῆρα·
πρωτόγονον· διφυῆ· τρίγονον· βακχεῖον ἄνακτα·
ἄγριον· ἄρρητον· κρύφιον δικέρωτα· δίμορφον·
κισσόβρυον· ταυρωπόν· ἀρήιον· εὔιον· ἁγνόν·
ὠμάδιον· τριετῆ· βοτρυοφόρον· ἐρνεσίπεπλον·
εὔβουλ'· εὐπολύβουλε· διὸς καὶ περσεφονείης·
ἀρρήτοις λέκτροισι τεκνωθείς· ἄμβροτε δαῖμον·
κλῦθι μάκαρ φωνῆς· ἡδὺς δ' ἐπίπνευσον ἀμεμφής·
εὐμενὲς ἦτορ ἔχων· σὺν ἐυζώνοισι τιθήναις·

Ὕμνος κουρήτων·

κἰρτηταὶ κουρῆτες· ἐνόπλια βήματα θέντες·

ποσίκροτοι· ῥομβηταὶ· ὀρέστεροι· εὐαστῆρες· φοις·
κρουσολύραι· παράρυθμοι· ἐπεμβάται ἴχνεσι κω-
ὁπλοφόροι· φύλακες· κοσμήτορες· ἀγλαόφημοι·
μητρὸς ὀρειομανοῦς συνοπάονες ὀργιοφάνται·
ἔλθοιτ' εὐμενέοντες ἐπ' εὐφήμοισι λόγοισι·
βουκόλῳ εὐάντητοι ἀεὶ κεχαρηότι θυμῷ·

## Ὕμνος ἀθηνᾶς·

αλλὰς μουνογενὴς· μεγάλου Διὸς ἔκγονε σεμνή·

Δῖα μάκαιρα θεά, πολεμόκλονε· ὀβριμόθυμε·
ἄρρητ' αὖ ῥητὴ· μεγαλώνυμε· ἀντροδίαιτε·
ἡ διαίνεις ὄχθους ὑψαύχενας ἀκρωρείους·
ἠδ' ὄρεα σκιόεντα· νάπαισί τε σὴν φρένα τέρπεις·
ὁπλοχαρὲς οἰστροῦσα βροτῶν ψυχὰς μανίαισι·
γυμνάζουσα κόρη· φρικώδη θυμὸν ἔχουσα·
γοργόφονε· φυγόλεκτρε· τεχνῶν μῆτερ πολύολβε·
ὁρμάστειρα· φίλοιστρε κακοῖς· ἀγαθοῖς δ' ἐ φρόνησις·
ἄρσην μὲν καὶ θῆλυς ἔφυς, πολεμάτοκε μῆτι·
αἰολόμορφε δράκαινα· φιλένθεε· ἀγλαότιμε·
φλεγραίων ὀλέτειρα· γιγάντων ἱππελάτειρα·
ριτογένεια· λύτειρα κακῶν· νικηφόρε δαῖμον·
ἤματα καὶ νύκτας αἰεὶ νεάταισιν ἐν ὥραις,
κλῦθί μου εὐχομένου· δὸς δ' εἰρήνην πολύολβον·
καὶ κόρον ἠδ' ὑγίειαν ἐπ' εὐόλβοισιν ἐν ὥραις·
γλαυκῶπ' εὑρεσίτεχνε· πολυλλίστη βασίλεια·

Νίκης θυμίαμα, μάνναν·

υδώατον καλέω νίκην · θνητοῖσι
ποθεινήν ·
ἣ μούνη λύει θνητῶν ἐναγώνιον ὁρμὴν
καὶ στάσιν ἀλγινόεσσαν, ἐπ' ἀντιπάλοισι μάχαισιν ·
ἐν πολέμοις κρίνουσα τροπαιούχοισιν ἐπ' ἔργοις ·
οἷς ἂν ἐφορμαίνουσα φέροις γλυκερώτατον εὖχος ·
πάντων γὰρ κρατέεις · πάσης δ' ἔριδος κλέος ἐσθλὸν ·
νίκῃ ἐπ' εὐδόξῳ κεῖται · θαλίαισι βρυάζον ·
ἀλλὰ μάκαιρ' ἔλθοις πεποθημένῳ ὄμματι φαιδρῷ ·
αἰεὶ ἐπ' εὐδόξοις κλέος ἔργοις ἐσθλὸν ἄγουσα ·

Ἀπόλλωνος θυμίαμα, μάνναν ·

λθὲ μάκαρ παιὰν τιτυοκτόνε φοῖβε
λυκωρεῦ ·
μεμφῖτ' ἀγλαότιμε · ἰήϊε · ὀλβιοδῶτα ·
χρυσολύρη · σπερμεῖε · ἀρότριε · πύθιε · τιτὰν ·
γρύνιε · καὶ σμινθεῦ · πυθοκτόνε · δελφικὲ · μάντι ·
ἄγριε · φωσφόρε · δαῖμον · ἐράσμιε · κύδιμε · κοῦρε ·
μουσαγέτα · χοροποιὲ · ἑκηβόλε · τοξοβέλεμνε ·
βάκχιε καὶ διδυμεῦ · ἑκάεργε · λοξία · ἁγνὲ ·
δήλι' ἄναξ · πανδερκὲς ἔχων φαεσίμβροτον ὄμμα ·
χρυσοκόμα καθαρὰς φήμας χρησμούς τ' ἀναφαίνων
κλῦθί μου εὐχομένου λαῶν ὕπερ εὔφρονι θυμῷ ·
τόνδε σὺ γὰρ λάσσεις τὸν ἀπείριτον αἰθέρα πάντα ·
γαῖαν τ' ὀλβιόμοιρον, ὕπερθέ τε καὶ διαμολσοῦ ·
νυκτὸς ἐν ἡσυχίαισιν ὑπ' ἀστεροόμματον ὄρφνην ·
ῥίζας νέρθε δέδορκας · ἔχεις δέ τε πείρατα κόσμου
παντὸς · σοὶ δ' ἀρχή τε τελατή τ' ἐστὶ μέλουσα, Τω
παντοθαλὴς · σὺ δὲ πάντα πόλον κιθάρῃ πολυκρέκ

ἁρμόζεις· ὁτὲ μὲν νεάτης ἐπὶ τέρματα βαίνων·
ἄλλοτε δ' αὖθ' ὑπάτην· ποτὲ δώριον εἰς διάκοσμον·
πάντα πόλον κρίνας, κρίνεις βιοθρέμμονα φῦλα·
ἁρμονίη κεράσας παγκόσμιον ἀνδράσι μοῖραν·
μίξας χειμῶνος θέρεός τ' ἴσον ἀμφοτέροισιν·
εἰς ὑπάτας χειμῶνα· θέρος νεάταις διακρίνας·
δώριον εἰς ἔαρος πολυηράτου ὥριον ἄνθος·
ἔνθεν ἐπωνυμίαις σε βροτοὶ κλήζουσιν ἄνακτα
πᾶνα· θεὸν δικέρωτ'· ἀνέμων συρίγμαθ' ἱέντα·
οὕνεκα παντὸς ἔχεις κόσμου σφραγῖδα τυπῶτιν·
κλῦθι μάκαρ σώζων μύστας ἱκετηρίδι φωνῇ·

Λητοῦς θυμίαμα, σμύρναν·

ητὼ κυανόπεπλε, θεὰ διδυματόκε
σεμνή·
κοιαντὶς μεγάθυμε· πολλυλίστη βασίλεια
εὔτεκνον ζηνὸς γονίμην ὠδῖνα λαχοῦσα,
γειναμένη φοῖβόν τε καὶ ἄρτεμιν ἰοχέαιραν·
τὴν μὲν, ἐν ὀρτυγίῃ· τὸν δὲ, κραναῇ ἐνὶ δήλῳ·
κλῦθι θεὰ δέσποινα· καὶ ἵλαον ἦτορ ἔχουσα,
βαῖν' ἐπὶ πάνθεον τελετήν, τέλος ἡδὺ φέρουσα·

Ἀρτέμιδος θυμίαμα, μάνναν·

λῦθί μου ὦ βασίλεια· διὸς πολυώνυμε
κούρη·
τιτανὶς· βρομία· μεγαλώνυμε· τοξότι σεμνή·
πασιφαὴς· δᾳδοῦχε· θεὰ δίκτυννα· λοχεία·
ὠδίνων ἐπαρωγέ· καὶ ὠδίνων ἀμύητε·
λυσίζωνε, φίλοιστρε· κυνηγέτι· λυσιμέριμνε·
εὔδρομε· ἰοχέαιρα· φιλαγρότι· νυκτερόφοιτε·

κλησία· εὐάντητε· λυτηρία· ἀρσενόμορφε·
ὀρθία· ὠκυλόχεια· βροτῶν κουροτρόφε δαῖμον·
ἀμβροτέρα χθονία· θηροκτόνε· ὀλβιόμοιρε·
ἣ κατέχεις ὀρέων δρυμοὺς· ἐλαφηβόλε σεμνή·
πότνια· παμβασίλεια· καλὸν θάλος αἰὲν ἐοῦσα·
δρυμονία· σκυλακῖτι· κυδωνιάς· αἰολόμορφε·
ἐλθὲ θεὰ σώτειρα· φίλη μύστῃσιν ἅπασιν·
εὐάντητος· ἄγουσα καλοὺς καρποὺς ἀπὸ γαίης·
εἰρήνην τ' ἐρατὴν· καλλιπλόκαμόν θ' ὑγίειαν·
πέμποις δ' εἰς ὀρέων κεφαλάς, νούσους τε καὶ ἄλγη·

Τιτάνων θυμίαμα, λίβανον·

ιτῆνες γαίης τε καὶ οὐρανοῦ ἀγλαὰ
τέκνα·
ἡμετέρων πρόγονοι πατέρων· γαίης ὑπένερθεν·
οἴκοις ταρταρίοισι μυχῷ χθονὸς ἐνναίοντες·
ἀρχαὶ καὶ πηγαὶ πάντων θνητῶν πολυμόχθων·
εἰναλίων πτηνῶν τε, καὶ οἳ χθόνα ναιετάουσιν·
ἐξ ὑμέων γὰρ πᾶσα πέλει γενεὰ κατὰ κόσμον·
ὑμᾶς κικλήσκω μῆνιν χαλεπὴν ἀποπέμπειν·
εἴ τις ἀπὸ χθονίων προγόνων οἴκοις ἐπελάσθη·

Κουρήτων θυμίαμα λίβανον·

αλκόκροτοι κουρῆτες ἀρήια τεύχε' ἔ-
χοντες·
οὐράνιοι χθόνιοί τε καὶ εἰνάλιοι πολύολβοι·
ζωογόνοι πνοιαί· κόσμου σωτῆρες ἀγαυοί·
οἵτε σαμοθράκην ἱερὴν χθόνα ναιετάοντες·
κινδύνους θνητῶν ἀπερύκετε ποντοπλανήτων·
ὑμεῖς καὶ τελετὴν πρῶτοι μερόπεσσιν ἔθεσθε·

ἀθάνατοι κουρῆτες, ἀρήια τεύχε' ἔχοντες,
νωμῶντες κελαδόν, νωμᾶτ' ἄλα· δένδρεα τ' αὔτως·
ἐρχόμενοι γαῖαν κοναβίζετε ποσσὶν ἐλαφροῖς·
μαρμαίροντες ὅπλοις· πτήσσουσι δὲ θῆρες ἅπαντες·
ὁρμώντων· θόρυβος δὲ βοή τ' εἰς οὐρανὸν ἵκει·
εἱλιγμοῖς τε ποδῶν κονίη νεφέλην ἀφικάνει,
ἐρχομένων· τότε δὴ ῥα καὶ ἄνθεα πάντα τέθηλεν·
δαίμονες ἀθάνατοι τροφέες καὶ αὖτ' ὀλετῆρες·
ἡνίκ' ἂν ὁρμαίνονται χολούμενοι ἀνθρώποισιν·
ὀλλῦντες βίον καὶ κτήματα, ἠδὲ καὶ αὐτούς,
πιμπλάντες· στοναχεῖ δὲ μέγας πόντος βαθυδίνης,
δένδρη δ' ὑψικάρηνα ἐκ ῥιζῶν ἐς χθόνα πίπτει·
ἠχὼ δ' οὐρανία κελαδοῖ ῥοιζήμασι φύλλων·
κουρῆτες κορύβαντες· ἀνάκτορες εὐδύνατοί τε·
ἐν σαμοθρᾴκῃ ἄνακτες ὁμοῦ διὸς κόροι αὐτοί·
πνοιαὶ ἀέναοι· ψυχοτρόφοι· ἀεροειδεῖς·
οἵ τε καὶ οὐράνιοι δίδυμοι κλήζεσθ' ἐν ὀλύμπῳ·
εὔπνοοι· εὔδιοι· σωτήριοι· ἠδὲ προσηνεῖς·
ὡροτρόφοι· φερέκαρποι· ἐπιπνείοιτέ τ' ἄνακτες·

Κορύβαντος θυμίαμα, λίβανον·

ικλήσκω χθονὸς ἀενάου βασιλῆα
μέγιστον·
κύρβαντ' ὀλβιόμοιρον· ἀρήιον· ἀπροσόρατον·
νυκτερινὸν κούρητα φόβων ἀποπαύστορα δεινῶν·
φαντασιῶν ἐπαρωγόν· ἐρημοπλάναν κορύβαντα·
αἰολόμορφον ἄνακτα· θεὸν διφυῆ πολύμορφον·
φοίνιον αἱμαχθέντα κασιγνήτων ὑπὸ δισσῶν·
δηοῖς ὃς γνώμαισιν ἐνήλλαξας δέμας ἁγνόν·

θηροτύπον θέμενος μορφὴν δνοφεροῖο δράκοντος·
κλῦθι μάκαρ φωνῶν· χαλεπὴν δ' ἀποπέμπεο μῆ
παύων φαντασίας ψυχᾶς ἐκπλήκτου ἀνάγκης· νιν

Δήμητρος ἐλευσινίας θυμίαμα, στύρακα·

ηὼ παμμήτειρα θεοῖς πολυώνυμε δαῖμον·

σεμνὴ δήμητερ κουροτρόφε ὀλβιοδῶτι,
πλουτοδότειρα θεὰ· σταχυοτρόφε παντοδότειρα·
εἰρήνῃ χαίρουσα καὶ ἐργασίαις πολυμόχθοις·
σπερμία· σωρῖτι· ἀλωαία· χλοόκαρπε·
ἡ ναίεις ἁγνοῖσιν ἐλευσῖνος γυάλοισιν·
ἱμερόεσσ' ἐρατὴ· θνητῶν θρέπτειρα προπάντων·
ἡ πρώτη ζεύξασα βοῶν ἀροτῆρα τένοντα,
καὶ βίον ἱμερόεντα βροτοῖς πολύολβον ἀνεῖσα·
αὐξιθαλὴς· βρομίοις συνέστιος ἀγλαότιμος·
λαμπαδόεσσ' ἁγνὴ· δρεπάνοις χαίρουσα θερείοις·
σὺ χθονία· σὺ δὲ φαινομένη· σὺ δὲ πᾶσι προσηνὴς·
εὔτεκνε παιδοφίλη· σεμνὴ· κουροτρόφε κούρα·
ἅρμα δρακοντείοισιν ὑποζεύξασα χαλινοῖς·
ἐγκυκλίοις δίναις περὶ σὸν θρόνον εὐάζουσα·
μουνογενὴς πολύτεκνε θεὰ πολυπότνια θνητοῖς
ἧς πολλαὶ μορφαὶ πολυάνθεμοι ἱεροθαλεῖς·
ἐλθὲ μάκαιρ' ἁγνὴ καρποῖς βρίθουσα θερείοις·
εἰρήνην κατάγουσα καὶ εὐνομίην ἐρατεινὴν·
καὶ πλοῦτον πολύολβον· ὁμοῦ δ' ὑγίειαν ἄνασσαν·

Μητρὸς ἀνταίας θυμίαμα, ἀρώματα·

νταία βασίλεια θεὰ πολυώνυμε μῆτερ·
ἀθανάτων τε θεῶν ἠδὲ θνητῶν ἀνθρώπων·

ἥ ποτε μαστεύουσα πολυπλάγκτῳ ἐν ἀνίῃ·
νηστείαν κατέπαυσας ἐλευσῖνος ἐν γυάλοισιν·
ἦλθές τ' εἰς ἀίδην πρὸς ἀγαυὴν περσεφόνειαν·
Δύσαγνος παῖδ' ἁγνὸν ὁδηγητῆρα λαβοῦσα·
μηνυτῆρ' ἁγίων λέκτρων χθονίου διὸς ἁγνοῦ·
εὔβουλον τέξασα θεὸν θνητῆς ἀπ' ἀνάγκης·
ἀλλὰ θεὰ λίτομαί σε πολυλλίστη βασίλεια,
ἐλθεῖν εὐάντητον ἐπ' εὐιέρῳ σέο μύστῃ·

Μίσης θυμίαμα, στύρακα·

εσμορφόρον καλέωναρ θηκοφόρον
Διόνυσον·
σπέρμα πολύμνηστον πολυώνυμον εὐβουλῆος
ἁγνὴν εὐϊερόν τε μίσην ἄρρητον ἄνασσαν·
ἄρσενα καὶ θῆλυν· διφυῆ λύσειον ἴακχον·
εἴτ' ἐν ἐλευσῖνος τέρπῃ νηῷ θυόεντι·
εἴτε καὶ ἐν φρυγίῃ σὺν μητέρι μυστιπολεύεις·
ἢ κύπρῳ τέρπῃ σὺν ἐϋστεφάνῳ κυθερείῃ·
ἢ καὶ πυροφόροις πεδίοις ἐπαγάλλεαι ἁγνοῖς·
σὺν σοὶ μητρὶ θεᾷ μελανηφόρῳ ἴσιδι σεμνῇ·
αἰγύπτου παρὰ χεῦμα σὺν ἀμφιπόλοισι τιθύναις·
εὐμενέουσ' ἔλθοις ἀγαθοῖς τελέουσ' ἐπ' ἀέθλοις·

Ὡρῶν θυμίαμα, ἀρώματα·

ραι θυγατέρες θέμιδος καὶ ζηνὸς
ἄνακτος·
εὐνομίη τε δίκη τε· καὶ εἰρήνη πολύολβε·
εἰαριναὶ λειμωνιάδες· πολυάνθεμοι ἁγναὶ
παντόχροοι· πολύοδμοι· ἐν ἀνθεμοειδέσι πνοιαῖς
ὧραι ἀειθαλέες, περικυκλάδες ἡδυπρόσωποι·

πέπλους ἐννύμεναι δροσέους ἀνθῶν πολυθρέπτων·
περσεφόνης συμπαίκτορες· ἡνίκα μοῖραι τὴν
καὶ χάριτες κυκλίοισι χοροῖς πρὸς φῶς ἀνάγωσι·
ζηνὶ χαριζόμεναι καὶ μητέρι καρποδοτείρῃ·
ἔλθετ' ἐπ' εὐφήμους τελετὰς ὁσίας νεομύστους·
εὐκάρπους καιρῶν γενέσεις ἐπάγουσαι ἀμέμφως·

Σεμέλης θυμίαμα, στύρακα·

ικλήσκω κούρην καδμηΐδα παμ-
βασίλειαν·
εὐειδῆ σεμέλην ἐρατοπλόκαμον βαθύκολπον·
μητέρα θυρσοφόροιο διωνύσου πολυγηθοῦς,
ἣ μεγάλας ὠδῖνας ἐλάσατο πυρφόρῳ αὐγῇ·
ἀθανάτου τεκοῦσα διὸς βουλαῖς κρονίοιο·
τιμὰς τευξαμένη παρὰ τῆς περσεφονείης,
ἐν θνητοῖσι βροτοῖσιν ἀνὰ τριετηρίδας ὥρας·
ἡνίκα σοῦ βάκχου γονίμην ὠδῖνα τελῶσιν,
εὐιερόν τε τράπεζαν· ἠδὲ μυστήριά θ' ἁγνά·
νῦν σε θεὰ λίτομαι κούρη καδμηὶς ἄνασσα·
πρηΰνοον καλέων ἀεὶ μύσταισιν ὑπάρχειν·

Ὕμνος διονύσου βασσαρέως τριετηρικοῦ·

λθὲ μάκαρ διόνυσε· πυρίσπορε ταυρο-
μέτωπε·
βάσσαρε· καὶ βακχᾶ, πολυώνυμε· παντοδυνάστα·
ὃς ξίφεσι χαίρεις· ἠδ' αἵμασι μαινάσι θ' ἁγναῖς·
εὐάζων κατ' ὄλυμπον, ἐρίβρομε· μανικὲ· βάκχε·
θυρσεγχής· βαρύμηνι· τετιμένε πᾶσι θεοῖσι,
καὶ θνητοῖς βροτοῖσιν, ὅσοι χθόνα ναιετάουσιν,
ἔλθε μάκαρ σκιρτητὰ φέρων πολὺ γῆθος ἅπασι·

Λικνίτου θυμίαμα, μάνναν.

ικνίτην Διόνυσον ἐπ' εὐχαῖς ταῖσδε
κικλήσκω.
νύσιον· ἀμφιθαλῆ· πεποθημένον εὔφρονα· βάκχον
νυμφῶν ἔρνος ἐραστὸν, ἐϋστεφάνου τ' ἀφροδίτης·
ὅς ποτ' ἀνὰ δρυμοὺς κεχορευμένα βήματα πάλλες·
σὺν νύμφαις χαρίεσσιν ἐλαυνόμενος μανίῃσι·
καὶ βουλαῖσι Διὸς πρὸς ἀγαυὴν φερσεφόνειαν·
ἀχθεὶς ἐξετράφης, φόβος ἀθανάτοισι θεοῖσιν·
εὔφρων ἐλθὲ μάκαρ· κεχαρισμένα δ' ἱερὰ δέξαι·

Περικιονίου θυμίαμα, ἀρώματα.

ικλήσκω βάκχον περικιόνιον μεθυδώτην·
καδμείοισι δόμοις ὃς ἑλισσόμενος περὶ πάντα,
ἔστησε κρατερῶς βρασμοὺς γαίης ἀποπέμψας·
ἡνίκα πυρφόρος αὐγὴ ἐκίνησε χθόνα πᾶσαν,
πρηστῆρος ῥοίζοις· ὁ δ' ἀνέδραμε δεσμὸς ἁπάντων·
ἐλθὲ μάκαρ βακχευτὰ γεγηθυίαις πραπίδεσσι.

Σαβαζίου θυμίαμα, ἀρώματα.

λῦθι πάτερ κρόνου υἱὲ σαβάζιε κύ-
διμε δαῖμον·
ὃς βάκχον Διόνυσον ἐρίβρομον εἰραφιώτην·
μηρῷ ἐγκατέραψας ὅπως τετελεσμένος ἔλθῃ·
τμῶλον ἐς ἠγάθεον παρ' ἵππαν καλλιπάρῃον·
ἀλλὰ μάκαρ φρυγίης μεδέων βασιλεῦτατε πάντων·
εὐμενέων ἐπαρωγὸς ἐπέλθοις μυστιπόλοισιν·

Ἵππας θυμίαμα, στύρακα.

ππαν κικλήσκω βάκχου τροφὸν εὐάδα κούρην·
μυστιπόλον τελεταῖσιν ἀγαλλομένην σάβου ἁγνοῦ·

νυκτερίοισι χοροῖσι· πυριβρεμέτοις ἰάχοισι·
κλῦθί μου εὐχομένου χθονία μήτηρ βασίλεια·
εἴτε σύ γ᾽ ἐν Φρυγίῃ κατέχεις Ἴδης ὄρος ἁγνόν·
ἢ τμῶλος τέρπει σε καλὸν λυδοῖσι θόασμα·
ἔρχεο πρὸς τελετὰς ἱερῷ γήθουσα προσώπῳ·

Λυσίου ληναίου ὕμνος·

κλῦθι μάκαρ Διὸς υἱ᾽ ἐπιλήνιε βάκχε
διμάτωρ·
σπέρμα πολύμνηστον πολυώνυμε λύσιε δαῖμον·
κρυψίγονον μακάρων ἱερὸν θάλος εὔιε βάκχε·
εὐτραφῆ· εὔκαρπε· πολυγηθέα καρπὸν ἀέξων·
ῥοχθίζων· ληναῖε· μεγασθενὲς· αἰολόμορφε·
παυσίπονος θνητοῖσι φανεὶς ἄκος ἱερὸν ἄνθος·
χάρμα βροτοῖς φιλάλυπον ἐπάφιε καλλιέθειρε·
λύσιε θυρσομανῆ· βρόμιε· εὔιε· πᾶσιν ἔϋφρων·
οἷς ἐθέλεις θνητῶν ἠδ᾽ ἀθανάτων ἐπιφαύσκων·
νῦν σε καλῶ μύσταισι μολεῖν ἡδὺν φερίκαρπον·

Νυμφῶν θυμίαμα, ἀρώματα·

νύμφαι θυγατέρες μεγαλήτορος
ὠκεανοῖο·
ὑγροπόροις γαίης ὑπὸ κεύθεσιν οἰκί᾽ ἔχουσαι·
κρυψίδρομοι βάκχοιο τροφοί· χθόνιαι πολυγηθεῖς·
καρποτρόφοι· λειμωνιάδες· σκολιόδρομοι ἁγναί·
ἀντροχαρεῖς· σπήλυγξι κεχαρμέναι ἠερόφοιτοι·
πηγαῖαι· δρομάδες· δροσοείμονες· ἴχνεσι κοῦφαι·
φαινόμεναι· ἀφανεῖς· αὐλωνιάδες· πολυανθεῖς·
σὺν πανὶ σκιρτῶσαι ἀν᾽ οὔρεα εὐάστειραι·
πετρόρρυτοι· λιγυραί· κορωνίτιδες ὑλονόμοι τε·

παρθένοι εὐώδεις· λευχείμονες, εὔπνοοι αὔραις·
αἰπολικαί· νόμιαι· θηρσὶν φίλαι· ἀγλαόκαρποι·
κρυμοχαρεῖς ἁπαλαί· πολυθρέμμονες αὐξίτροφοί τε·
κοῦραι ἁμαδρυάδες· φιλοπαίγμονες, ὑγροκέλευθοι·
νύσιαι· μανικαί· παιονίδες, ἠαροτερπεῖς·
σὺν βάκχῳ δηοῖ τε χάριν θνητοῖσι φέρουσαι·
ἔλθετ' ἐπ' εὐφήμοις ἱεροῖς κεχαρηότι θυμῷ·
νᾶμα χέουσ' ὑγιεινὸν ἀυξιτρόφοισιν ὥραις·

Τριετηρικοῦ θυμίαμα, ἀρώματα·

ικλήσκω σε μάκαρ πολυώνυμε μανικὲ
βακχεῦ·
ταυρόκερως· ληναῖε πυρίσπορε· νύσιε· λυσεῦ·
μηροτρεφὴς· λικνῖτα· πυρίπολε· καὶ τελετάρχα·
νύκτερ· εὐβουλεῦ· μιτρηφόρε· θυρσοτινάκτα·
ὄργιον, ἄρρητον· τριφυὲς· κρύφιον διὸς ἔρνος·
πρωτόγον' ἠρικεπαῖε θεῶν· πάτερ ἠδὲ καὶ υἱέ·
ὠμάδιε· σκηπτοῦχε· χορεῖμανές· ἀγέτα κώμων·
βακχεύων ἁγίας τριετηρίδας, ἀμφὶ γαληνάς·
ῥηξίχθων· πυριφεγγές· ἐπάφιε· κοῦρε διμάτωρ·
οὐρεσιφοῖτα ἔρως· νεβριδόπολε· ἀμφιέτηρε·
παιὰν χρυσεγχὴς· ὑποκόλπιε βοτρυόκοσμε·
βασσαρεῦ κισσοχαρὴς· πολυπάρθενε· καὶ διάκοσμε·
ἐλθὲ μάκαρ μύσταισι βρύων κεχαρημένος αἰεί·

Ἀμφιέτους θυμίαμα, πάντα
πλὴν λιβάνου·

μφιέτη καλέω βάκχον· χθόνιον διόνυσον·
ἐγρόμενον κούραις ἅμα νύμφαις, εὐπλοκάμοις·
ὃς παρὰ περσεφόνης ἱεροῖσι δόμοισιν ἰαύων,

κοιμίζει τριετῆρα χρόνον, βακχήιον ἁγνόν·
αὐτὸς δ' ἡνίκα τὸν τριετῆ πάλι κῶμον ἐγείροις,
εἰς ὕμνον τρέπεται σὺν ἐυζώνοισι τιθήναις·
εὐνάζων κινῶν τε χρόνους ἐνὶ κυκλάσιν ὥραις·
ἀλλὰ μάκαρ χλοόκαρπε· κερασφόρε· κάρπιμε·
βαῖν' ἐπὶ πάνθειον τελετὴν γανόωντι προσώπω· βάκχε
εὐιέροις καρποῖσι τελεσσιγόνοισι βρυάζων·

Σιληνοῦ· σατύρου· βακχῶν θυμίαμα μάνναν·

λῦθί μου ὦ πολύσεμνε τροφὲ βάκχοιο
τιθηνέ·
σιληνῶν ὄχ' ἄριστε· τετιμένε πᾶσι θεοῖσι·
καὶ θνητοῖσι βροτοῖσιν, ἐπὶ τριετηρίσιν ὥραις·
ἁγνοτερὴς· γεραρὸς· θιάσου νομίου τελετάρχου·
εὐαστὴς· φιλάγρυπνε· νεάζων οἷσι σιληνοῖς·
ναῖσι καὶ βάκχοις ἡγούμενε κισσοφόροισιν·
δεῦρ' ἐπὶ πάνθειον τελετὴν σατύροις ἅμα πᾶσι·
θηροτύποις· εὔασμα διδοὺς βακχεῖον ἄνακτος·
σὺν βάκχαις ληναίαις τελεσφόρα σεμνὰ προπέμπων
ὄργια νυκτιφαῆ τελεταῖς ἁγίαις ἀναφαίνων·
εὐάζων φιλόθυρσε· γαληνιόων θιάσοισιν·

Εἰς ἀφροδίτην ὕμνος·

ὐρανία πολύυμνε φιλομμειδὴς
ἀφροδίτη·
ποντογενὴς· γενέτειρα θεά· φιλοπάννυχε σεμνή·
νυκτερία· ζεύκτειρα· δολοπλόκε· μῆτερ ἀνάγκης·
πάντα γὰρ ἐκ σέθεν ἐστὶν· ὑπεζεύξαο δὲ κόσμον·
καὶ κρατέεις τρισσῶν μοιρῶν· γεννᾷς δὲ τὰ πάντα·
ὅσσα τ' ἐν οὐρανῷ ἐστὶ καὶ ἐν γαίῃ πολυκάρπῳ·

ἐμπόντω τε· βυθῶ τε· σεμνὴ βάκχοιο πάρεδρε·
τερπομένη θαλίαισι· γαμοστόλε· μῆτερ ἐρώτων·
πειθοῖ λεκτροχαρὴς· κρυφία· χαριδῶτι·
φαινομένη τ' ἀφανὴς· ἐρατοπλόκαμ' εὐπατέρεια·
νυμφιδία σύνδαιτι· θεῶν σκηπτοῦχε λύκαινα·
γεννοδότειρα· φίλανδρε· ποθεινοτάτη βιοδῶτι·
ἡ ζεύξασα βροτοὺς ἀχαλινώτοισιν ἀνάγκαις·
καὶ θηρῶν πολὺ φῦλον ἐρωτομανῶν ἀπὸ φίλτρων·
ἔρχεο κυπρογενὲς θεῖον γένος· εἴτ' ἐν ὀλύμπω
ἐσσὶ θεὰ βασίλεια καλῶ γήθουσα προσώπω·
εἴτε καὶ εὐλιβάνου συρίης ἕδος ἀμφιπολεύεις·
εἴτε σὺ γ' ἐν πεδίοισι σὺν ἅρμασι χρυσεοτεύκτοις·
αἰγύπτου κατέχεις ἱερῆς γονιμώδεα λουτρά·
ἢ καὶ κυανέοις ὄχθοις ἐπὶ πόντιον οἶδμα·
τερπομένη χαίρεις θνητῶν κυκλίαισι χορείαις·
ἢ νύμφαις τέρπη κυανώπισιν ἐν χθονὶ δία·
θῖνας ἐπ' αἰγιαλοῖς ψαμμώδεσιν ἅρματι κούφω·
εἴτ' ἐν κύπρω ἄνασσα τροφῶ σέο· ἔνθα καλαί σε·
παρθένοι ἄδμηται νύμφαι τ' ἀνὰ πάντ' ἐνιαυτὸν
ὑμνοῦσι σε μάκαιρα· καὶ ἄμβροτον ἁγνὸν ἄδωνιν·
ἐλθὲ μάκαιρα θεὰ καλ' ἐπήρατον εἶδος ἔχουσα·
ψυχῆ γάρ σε καλῶ σεμνῆ ἁγίοισι λόγοισιν·

## Ἀδώνιδος θυμίαμα, ἀρώματα·

λυθί μου εὐχομένου πολυώνυμε δαῖμον
ἄριστε·
ἁβροκόμη· φιλέρημε· βρύων ᾠδαῖσι ποθειναῖς·
εὔβουλε· πολύμορφε· τροφὴ πάντων ἀρίδηλε·
κούρη· καὶ κόρε· σὺ πᾶσιν θάλος αἰὲν ἄδωνι·

σβεννύμενε· λάμπων τε· καλαῖσιν κυκλάσιν ὥραις·
αὐξιθαλὴς· δίκερως· πολυήρατε· δακρυότιμε·
ἀγλαόμορφε· κυναγεσίοις χαίρων· βαθυχαῖτα·
ἱμερόνους· κύπριδος γλυκερὸν θάλος· ἔρνος ἔρωτος
φερσεφόνης ἐρασιπλοκάμου λέκτροισι λοχευθείς·
ὃς ποτὲ μὲν ναίεις ὑπὸ τάρταρον ἠερόεντα·
ἠδὲ πάλιν πρὸς ὄλυμπον ἄγεις δέμας ὡριόκαρπον·
ἐλθὲ μάκαρ μύστῃσι φέρων καρποὺς ἀπὸ γαίης·

Ἑρμοῦ χθονίου θυμίαμα,

στύρακα·

ωκυτοῦ ναίων ἀνυπόστροφον οἶμον

ἀνάγκης·

ὃς ψυχὰς θνητῶν κατάγεις ὑπὸ νέρτερα γαίης·
ἑρμῆ βάκχε χοροῖο διονύσοιο γένεθλον·
καὶ παφίης κούρης ἑλικοβλεφάρου ἀφροδίτης·
ὃς παρὰ περσεφόνης ἱερὸν δόμον ἀμφιπολάεις·
αἰνομόροις ψυχαῖς πομπὸς κατὰ γαῖαν ὑπάρχων·
ἃς κατάγεις, ὁπόταν μοίρης χρόνος εἰσαφίκηται·
εὐιέρῳ ῥάβδῳ θέλγων ὑπνοδώτιρα πάντα·
καὶ πάλιν ὑπνώοντας ἐγείρεις· σοὶ γὰρ ἔδωκε
τιμὴν φερσεφόνεια θεὰ κατὰ τάρταρον εὐρύν·
ψυχαῖς ἀενάοις θνητῶν ὁδὸν ἡγεμονεύειν
ἀλλὰ μάκαρ πέμποις μύσταις τέλος ἐσθλὸν ἐπ' ἔργοις·

Ἔρωτος θυμίαμα, ἀρώματα·

ικλήσκω μέγαν ἁγνὸν ἐράσμιον ἡδὺν

ἔρωτα·

τοξαλκῆ· πτερόεντα· πυρίδρομον· εὔδρομον ὁρμῇ·
συμπαίζοντα θεοῖς ἠδὲ θνητοῖς ἀνθρώποις·

εὐπάλαμον διφυῆ· πάντων κληῖδας ἔχοντα·
αἰθέρος οὐρανίου· πόντου· χθονός· ἠδ' ὅσα θνητοῖς
πνεύματα παντογένεθλα θεὰ βόσκει χλοόκαρπος·
ἠδ' ὅσα τάρταρος εὐρὺς ἔχει πόντος θ' ἁλίδουπος·
μοῦνος γὰρ τούτων πάντων οἴηκα κρατύνεις·
ἀλλὰ μάκαρ· καθαραῖς γνώμαις μύσταισι συνέρχου·
φαύλους δ' ἐκτοπίους θ' ὁρμὰς ἀπὸ τῶνδ' ἀπόπεμ

Μοιρῶν θυμίαμα, ἀρώματα. πε·

Μοῖραι ἀπειρέσιοι· νυκτὸς φίλα τέκνα
μελαίνης·

κλῦτέ μου εὐχομένου πολυώνυμοι· αἵ τ' ἐπὶ λίμνης
οὐρανίας ἵνα λευκὸν ὕδωρ νυχίας ὑπὸ θέρμης·
ῥήγνυται ἐν σκιερῷ λιπαρῷ μυχῷ εὐλίθου ἄντρου·
ναίουσαι, πεπότησθε βροτῶν ἐπ' ἀπείρονα γαῖαν·
ἔνθεν ἐπὶ βρότεον δόκιμον γένος ἐλπίδι κοῦφον·
στείχετε, πορφυρέοισι καλυψάμεναι ὀθόνησι·
μορσίμῳ ἐν πεδίῳ· ὅθι πάνγειον ἅρμα διώκει·
δόξα δίκης παρὰ τέρμα καὶ ἐλπίδος· ἠδὲ μεριμνῶν
καὶ νόμου ὠγυγίου καὶ ἀπείρονος εὐνόμου ἀρχῆς·
μοῖρα γὰρ ἐν βιότῳ καθορᾷ μόνον· οὐδέ τις ἄλλος
ἀθανάτων οἳ ἔχουσι κάρη νιφόεντος ὀλύμπου·
καὶ διὸς ὄμμα τέλειον· ἐπεί γ' ὅσα γίνεται ἡμῖν,
μοῖρα τε καὶ διὸς οἶδε νόος διὰ παντὸς ἅπαντα,
ἀλλά μοι νυκτέριοι μαλακόφρονες ἠπιόθυμοι,
ἄτροπε καὶ λάχεσι· κλωθώ· μόλετ' εὐπατέρειαι·
ἀέριοι· ἀφανεῖς· ἀμετάτροποι· αἰὲν ἀτειρεῖς·
παντοδότειραι· ἀφαιρέτιδες θνητοῖσιν ἀνάγκη·
μοῖραι ἀκούσατ' ἐμῶν ὁσίων λοιβῶν τε καὶ εὐχῶν·

ἐρχόμεναι μύσταις λυσιπήμονες εὔφρονι βουλῇ·
μοιράων τέλος ἔλλαχοι δὴ· ἣν ὕφαιν᾽ ὀρφεύς·

Χαρίτων θυμίαμα, στύρακα·

λῦτέ μοι ὦ χάριτες μεγαλώνυμοι
ἀγλαότιμοι·
θυγατέρες ζηνός τε καὶ εὐνομίης βαθυκόλπου·
ἀγλαΐη τε· θάλεια· καὶ εὐφροσύνη πολύολβε·
χαρμοσύνης γενέτειραι· ἐράσμιαι· εὐφρόσυν᾽ ἁγναί·
αἰολόμορφοι· ἀειθαλέες· θνητοῖσι ποθειναί·
εὐκταῖαι· κυκλάδες· καλυκώπιδες· ἱμερόεσσαι·
ἔλθοιτ᾽ ὀλβοδότειραι, ἀεὶ μύσταισι προσηνεῖς·

Νεμέσεως ὕμνος·

νέμεσι· κλήζω σε θεὰ βασίλεια
μεγίστη·
πανδερκὴς ἐσορῶσα βίον θνητῶν πολυφύλων·
ἀιδία· πολύσεμνε· μόνη χαίρουσα δικαίοις·
ἀλλάσσουσα λόγον πολυποίκιλον ἄστατον αἰεί·
ἣν πάντες δεδίασι βροτοὶ ζυγὸν αὐχένι θέντες·
σὴ γὰρ ἀεὶ γνώμη πάντων πέλει· οὐδέ σε λήθει
ψυχὴ ὑπερφρονέουσα λόγων ἀδιακρίτῳ ὁρμῇ·
πάντ᾽ ἐσορᾷς καὶ πάντ᾽ ἐπακούεις καὶ πάντα βραβεύ
ἐν σοὶ δ᾽ εἰσὶ δίκαι θνητῶν πανυπέρτατε δαῖμον· εις,
ἔλθε μάκαιρ᾽ ἁγνὴ μύσταις ἐπιτάρροθος αἰεί·
δὸς δ᾽ ἀγαθὴν διάνοιαν ἔχειν· παύουσα πανεχθεῖς
γνώμας οὐχ ὁσίας πανυπέρφρονας, ἀλιτροτάτας·

Δίκης θυμίαμα, λίβανον·

μμα δίκης μέλπω παλιδερκέος ἀγλαομόρφου·
ἣ καὶ ζηνὸς ἄνακτος ἐπὶ θρόνον ἱερὸν ἵζει·

οὐρανόθεν καθορῶσα βίον θνητῶν πολυφύλων·
τοῖς ἀδίκοις τιμωρὸς ἐπιβρίθουσα δικαία·
ἐξ ἰσότητος ἀληθείας συνάγουσ' ἀνόμοια·
πάντα γὰρ ὅσα κακαῖσι γνώμαις θνητοῖσιν ὀχεῖται,
δύσκριτα βουλομένοις τὸ πλέον βουλαῖς ἀδίκοισι,
μούνη ἐπεμβαίνουσα δίκην ἀδίκοις ἐπεγείρεις·
ἐχθρὰ τῶν ἀδίκων· εὔφρων δὲ σύνεσσι δικαίοις·
ἀλλὰ θεὰ μόλ' ἐπὶ γνώμαις ἐσθλαῖσι δικαία·
ὡς ἂν ἀεὶ βιοτῆς τὸ πεπρωμένον ἦμαρ ἐπέλθοι·

Δικαιοσύνης θυμίαμα, λίβανον·

θνητοῖσι δικαιοτάτη πολύολβε
ποθεινή·
ἐξ ἰσότητος ἀεὶ θνητοῖς χαίρουσα δικαίοις·
πάντιμε ὀλβιόμοιρε· δικαιοσύνη μεγαλαυχής·
ἣ καθαραῖς γνώμαις ἀεὶ τὰ δέοντα βραβεύεις·
ἄθραυστος τὸ συνειδός· ἀεὶ θραύεις γὰρ ἅπαντας
ὅσοι μὴ τὸν σὸν ἦλθον ὑπὸ ζυγόν· ἀλλ' ὑπὲρ αὐτοῦ
πλάστιγξι βριαραῖσι παρεγκλίναντες ἀπλήστως·
ἀστασίαστε· φίλη πάντων· φιλόκωμ'· ἐρατεινή·
εἰρήνῃ χαίρουσα· βίον ζηλοῦσα βέβαιον·
ἀεὶ γὰρ τὸ πλέον στυγέεις· ἰσότητι δὲ χαίρεις·
ἐν σοὶ γὰρ σοφίης ἀρετῆς τέλος ὄλλον ἱκάνει·
κλῦθι θεά· κακίην θνητῶν θραύουσα δικαίως·
ὡς ἂν ἰσορροπίαισιν ἀεὶ βίος ἐσθλὸς ὁδεύοι,
θνητῶν ἀνθρώπων, οἳ ἀρούρης καρπὸν ἔδουσι
καὶ ζώων πάντων ὁπόσ' ἐν κόλποισι τιθηνεῖ·
γαῖα θεὰ μήτηρ· καὶ πόντιος εἰνάλιος ζεύς·

Ὕμνος νόμου·

θανάτων καλέω καὶ θνητῶν ἁγνὸν

ἄνακτα.

ὐράνιον νόμον, ἀστροθέτην, σφραγῖδα δικαίαν.
πόντου τ' εἰναλίου καὶ γῆς, φύσεως τὸ βέβαιον.
ἀκλινῆ, ἀστασίαστον, ἀεὶ τηροῦντα νόμοισιν.
οἷσιν ἄνωθε φέρων μέγαν οὐρανὸν αὐτὸς ὁδεύει.
καὶ φθόνον οὐ δίκαιον ῥοίζου τρόπον αὐτὸς ἐλαύνει.
ὃς καὶ θνητοῖσιν βιοτῆς τέλος ἐσθλὸν ἐγείρει.
αὐτὸς γὰρ μοῦνος ζώων οἴακα κρατύνει.
γνώμαις ὀρθοτάταισι συνὼν ἀδιάστροφος ἀεί.
ὠγύγιος, πολύπειρος, ἀβλάπτως πᾶσι συνοικῶν,
τοῖς νομίμοις, ἀνόμοις δ' ἐπιφέρων κακότητα βαρεῖαν.
ἀλλὰ μάκαρ πάντιμε, φερόλβιε πᾶσι ποθεινέ.
εὐμενὲς ἦτορ ἔχων μνήμην σέο πέμπε φέριστε.

Ἄρεος θυμίαμα, λίβανον.

ρρηκτ' ὀβριμόθυμε, μεγασθενὲς ἄλκιμε

δαῖμον.

ὁπλοχαρής, ἀδάμαστε, βροτοκτόνε, τειχεσιπλῆτα
ἄρες, ἄναξ, δολόδουπε, φόνοις πεπαλαγμένος αἰεὶ
αἵματι ἀνδροφόνῳ χαίρων, πολεμόκλονε φρικτέ.
ὃς ποθέεις ξίφεσίν τε καὶ ἔγχεσι δῆριν ἄμουσον.
στῆσον ἔριν λυσσῶσαν, ἄνες πόνον ἀλγεσίθυμον.
ἐς δὲ πόθον νεῦσον κύπριδος, κώμους τε λυαίους.
ἀλλάξας ἀλκὴν ὅπλων, ἐς ἔργα τὰ δηοῦς.
εἰρήνην ποθέων κουροτρόφον ὀλβιοδῶτιν.

Ἡφαίστου θυμίαμα, λίβανον-

μάνναν.

φαιστ' ὀβριμόθυμε μεγασθενὲς ἀκάματον πῦρ,

λαμπόμενε φλογίαις αὔραις φαεσίμβροτε δαῖμον.
φωσφόρε. κρατερόχειρ. αἰώνιε. τεχνοδίαιτε.
ἐργαστὴρ κόσμοιο μέρος. στοιχεῖον ἀμεμφές.
παμφάγε. πανδαμάτωρ, πανυπέρτατε. παντοδί
αἰθὴρ. ἥλιος. ἄστρα. σελήνη. φῶς ἀμίαντον. αιτε.
ταῦτα γὰρ ἡφαίστοιο μέλη θνητοῖσι προφαίνει.
πάντα δὲ οἶκον ἔχεις. πᾶσαν πόλιν. ἔθνεα πάντα
σώματά τε θνητῶν οἰκεῖς πολύολβε κραταιέ.
κλῦθι μάκαρ. κλήιζω πρὸς εὐιέρους ἐπὶ λοιβάς.
αἰεὶ ὅπως χαίρουσιν ἐπ' ἔργοις ἥμερος ἔλθοις.
παῦσον λυσσῶσαν μανίαν πυρὸς ἀκαμάτοιο.
καῦσιν ἔχων φύσεως ἐν σώμασιν ἡμετέροισιν.

Ἀσκληπιοῦ θυμίαμα, μάνναν.

ητὴρ πάντων ἀσκληπιὲ δέσποτα
παιάν.
θέλγων ἀνθρώπων πολυαλγέα πήματα νούσων.
ἠπιόδωρε κραταιὲ μόλοις κατάγων καὶ ὑγείαν.
καὶ παύων νούσους χαλεπὰς κῆρας θανάτοιο.
αὐξιθαλὴς. κόρε. ἀπαλεξίκακ'. ὀλβιόμοιρε.
φοίβου ἀπόλλωνος κρατερὸν θάλος ἀγλαότιμον.
ἐχθρὲ νόσων, ὑγίειαν ἔχων σύλλεκτρον ἀμεμφῆ.
ἐλθὲ μάκαρ σωτὴρ, βιότης τέλος ἐσθλὸν ὀπάζων.

Ὑγείας θυμίαμα, μάνναν.

μερόεσσ' ἐρατὴ. πολυθάλμιε. παμ-
βασίλεια.
κλῦθι μάκαιρ' ὑγίεια φερόλβιε. μῆτερ ἁπάντων.
ἐκ σέο γὰρ νοῦσοι μὲν ἀποφθινύθουσι βροτοῖσι.
πᾶς δὲ δόμος θάλλει πολυγηθὴς εἵνεκα σεῖο.

καὶ τέχναι βρίθουσι· ποθεῖ δέ σε κόσμος ἄνασσα·
μοῦνος δὲ στυγέει σ' ἀΐδης ψυχοφθόρος αἰεί·
ἀφθαλὴς· εὐκταιοτάτη· θνητῶν ἀνάπαυμα·
σοῦ γὰρ ἄτερ, πάντ' ἐστὶν ἀνωφελῆ ἀνθρώποισιν·
οὔτε γὰρ ὀλβοδότης πλοῦτος γλυκερὸς θαλίησιν,
οὔτε γέρων πολύμοχθος ἄτερ σέο γίγνεται ἀνήρ·
πάντων γὰρ κρατέεις μούνη· καὶ πᾶσιν ἀνάσσεις·
ἀλλὰ θεὰ μόλε μυστιπόλοις· ἐπιτάρροθος αἰεί·
ῥυομένη νούσων χαλεπῶν, κακόποτμον ἀνίην·

Εὐμενίδων θυμίαμα, ἀρώματα·

λῦτε θεαὶ πάντιμοι· ἐρίβρομοι
ἐυράστειραι·
τισιφόνη τε καὶ ἀλληκτὼ, καὶ δῖα μέγαιρα·
νυκτέριαι· μύχιαι· ὑπὸ κάθεσιν οἰκί' ἔχουσαι·
ἄντρων ἐν ἠερόεντι παρὰ στυγὸς ἱερὸν ὕδωρ·
οὐχ ὁσίαις βουλαῖσι βροτῶν πεποτημέναι αἰεί·
λυσσήρεις· ἀγέρωχοι· ἐπαυάζουσαι ἀνάγκαις·
θηρόπεπλοι· τιμωροί· ἐριαθενέες· βαρυαλγεῖς·
ἀΐδεω χθόνιαι φοβεραὶ κόραι αἰολόμορφοι·
ἠέριαι ἀφανεῖς· ὠκύδρομοι ὥστε νόημα·
οὔτε γὰρ ἠελίου ταχιναὶ φλόγες· οὔτε σελήνης·
καὶ σοφίας ἀρετῆς τε καὶ ἐργασίμου θρασύτητος,
εὔχαρι, οὔτε βίου λιπαρᾶς περικαλλέος ἥβης,
ὑμῶν χωρὶς ἐγείρει εὐφροσύνας βιότοιο·
ἀλλ' αἰεὶ θνητῶν πάντων ἐπ' ἀπείρονα φῦλα,
ὄμμα δίκης ἐφορᾶτε δικασπόλοι αἰὲν ἐοῦσαι·
ἀλλὰ θεαὶ μοῖραι ὀφιοπλόκαμοι πολύμορφοι,
πραΰνοον μετάθεσθε βίου μαλακόφρονα δόξαν·

Εὐμενίδων θυμίαμα, ἀρώματα.

λῦτέ μου Εὐμενίδες μεγαλώνυμοι εὔφρονι βουλῆ.
ἁγναὶ θυγατέρες μεγάλοιο διὸς χθονίοιο.
φερσεφόνης τ' ἐρατῆς κούρης καλλιπλοκάμοιο.
ἣ πάντων καθορᾶ βίοτον θνητῶν ἀσεβούντων.
τῶν ἀδίκων τιμωροί. ἐφεστηκυῖαι ἀνάγκη.
κυανόχρωτοι ἄνασσαι ἀπαστράπτουσαι ἀπ' ὄσσων,
δεινὴν ἀνταυγῆ φάεος σαρκοφθόρον αἴγλην.
ἀΐδιοι. φοβερῶπες. ἀπόστροφοι. αὐτοκράτειραι.
λυσιμελεῖς οἴστρω. βλοσυροννύχιαι. πολύποτμοι.
νυκτέριαι κοῦραι. ὀφιοπλόκαμοι. φοβερῶπες.
ὑμᾶς κικλήσκω γνώμαις ὁσίαισι πελάζειν.

Μηλινόης θυμίαμα, ἀρώματα.

ηλινόην καλέω νύμφην χθονίαν κροκόπεπλον.
ἣν παρὰ κωκυτοῦ προχοαῖς ἐλοχάσατο σεμνὴ.
φερσεφόνη. λέκτροις ἱεροῖς ζηνὸς κρονίοιο.
ἧ ψαθεὶς πλούτων ἐμίγη δολίαις ἀπάταις.
θυμῶ φερσεφόνης δὲ, δισώματον ἔσπασε χροιὴν.
ἣ θνητοὺς μαίνει φαντάσμασιν ἠερίοισιν.
ἀλλοκότοις ἰδέαις μορφῆς τύπον ἐκπροφαίνουσα.
ἄλλοτε μὲν προφανὴς ποτὲ δὲ σκοτόεσσα νυχαυγὴς.
ἀνταίαις ἐφόδοισι κατὰ ζοφοειδέα νύκτα.
ἀλλὰ θεὰ λίτομαί σε καταχθονίων βασίλεια.
ψυχῆς ἐκπέμπειν οἶστρον ἐπὶ τέρματα γαίης.
εὐμενὲς εὐίερον μύσταις φαίνουσα πρόσωπον.

Τύχης θυμίαμα, λίβανον.

ῦρο τύχη· καλέω σ' ἀγαθὴν κράντειραν
ἐπ' εὐχαῖς·
μειλιχίαν ἐνοδῖτιν ἐπ' εὐόλβοις κτεάτεσσιν·
ἄρτεμιν ἡγεμόνην· μεγαλώνυμον· εὐβουλῆος·
αἵματος ἐκγεγαῶσαν· ἀπρόσμαχον εὖχος ἔχουσαν
τυμβιδίαν· πολύπλαγκτον· ἀοίδιμον ἀνθρώποισιν
ἐν σοὶ γὰρ βίοτος θνητῶν παμποίκιλός ἐστιν·
οἷς μὲν γὰρ τεύχεις κτεάνων πλῆθος πολύολβον·
οἷς δὲ κακὴν πενίην θυμῷ χόλον ὁρμαίνουσα·
ἀλλὰ θεὰ· λίτομαί σε μολεῖν βίῳ εὐμενέουσαν·
ὄλβοισιν πλήθουσαν ἐπ' εὐόλβοις κτεάτεσσιν·

Δαίμονος θυμίαμα, λίβανον·

αίμονα κικλήσκω μεγάλαν ἡγήτορα
φρικτόν·
μειλίχιον δία· παγγενέτην· βιοδώτορα θνητῶν· α
ζῆνα μέγαν πολύπλαγκτον· ἀλάστορα παμβασιλῆ
πλουτοδότην, ὁπόταν γε βρυάζων οἶκον ἐσέλθῃ·
ἔμπαλι δ' ἐκτρύχοντα βίον θνητῶν πολυμόχθων·
ἐν σοὶ γὰρ λύπης τε χαρᾶς κληῖδες ὀχοῦνται·
τοιγάρτοι μάκαρ ἁγνὲ πολύστορα κήδε' ἐλάσας,
ὅσα βιοφθορίην πέμπει κατὰ γαῖαν ἅπασαν,
εὔδοξον βιοτῆς γλυκερὸν τέλος ἐσθλὸν ὀπάζοις·

Λευκοθέας θυμίαμα, ἀρώματα·

ευκοθέαν καλέω καδμηίδα δαίμονα
σεμνήν·
εὐδύνατον· θρέπτειραν· ἐυστεφάνου διονύσου·
κλῦθι θεὰ πόντοιο βαθυστέρνου μεδέουσα·
κύμασι τερπομένη· θνητῶν σώτειρα μεγίστη·

ἐν σοὶ γὰρ νηῶν πελαγοδρόμος ἄστατος ὁρμή.
μούνη δὲ θνητῶν οἰκτρὸν μόρον ἐν ἁλὶ λύεις.
οἷς ἂν ἐφορμαίνουσα φίλη σωτήριος ἔλθοις.
ἀλλὰ θεὰ δέσποινα, μόλοις ἐπαρωγὸς ἐοῦσα,
νηυσὶν ἐπ' εὐσέλμοις σωτήριος εὔφρονι βουλῇ.
μύσταις ἐν πόντῳ ναυσίδρομον οὖρον ἄγουσα.

Παλαίμονος θυμίαμα, μάνναν.

ύντροφε βάκχε χοροῖο διωνύσου
πολυγηθοῦς.
ὃς ναίεις πόντοιο βυθοὺς βαθυκύμονας ἁγνούς.
κικλήσκω σε παλαῖμον ἐπ' εὐιέροις τελεταῖσιν.
ἐλθεῖν εὐμενέοντα, νέῳ γήθοντα προσώπῳ.
καὶ σώζειν μύστας κατά τε χθόνα καὶ κατὰ πόντον
ποντοπλάνοις γὰρ ἀεὶ ναυσὶν χειμῶνος ἐναργὴς.
φαινόμενος σωτὴρ, μοῦνος θνητοῖς ἀναφαίνῃ.
ῥυόμενος μῆνιν χαλεπὴν κατὰ πόντιον οἶδμα.

Μουσῶν θυμίαμα, λίβανον.

μνημοσύνης καὶ ζηνὸς ἐριγδούποιο
θυγατέρες.
μοῦσαι πιερίδες μεγαλώνυμοι, ἀγλαόφημοι.
θνητοῖς οἷς κε παρῆτε ποθεινόταται πολύμορφοι.
πάσης παιδείης ἀρετὴν γεννῶσαι ἄμεμπτον.
θρέπτειραι ψυχῆς, διανοίας ὀρθοδότειραι.
καὶ νοῦ δυναμένοιο καθηγήτειραι ἄνασσαι.
αἳ τελετὰς θνητοῖς ἀνεδείξατε μυστιπολεύτους.
κλειώ τ' εὐτέρπη τε, θάλειά τε μελπομένη τε.
τερψιχόρη τ' ἐρατώ τε, πολύμνιά τ' οὐρανίη τε.
καλλιόπη σὺν μητρὶ καὶ εὐδυνάτῃ θεᾷ ἁγνῇ.

ἀλλὰ μόλοιτε θεαὶ μύσταις πολυποίκιλοι ἁγναί·
εὔκλειαν ζῆλόν τ' ἐρατὸν πολύυμνον ἄγουσαι·

Μνημοσύνης θυμίαμα, λίβανον·

μνημοσύνην καλέω ζηνὸς σύλλεκτρον
ἄνασσαν·
ἣ μούσας τέκνωσ' ἱερὰς ὁσίας λιγυφώνους·
ἐκτὸς ἐοῦσα κακῆς μνήμης βλαψίφρονος αἰεί·
πάντα νόον συνέχουσα βροτῶν ψυχαῖσι σύνοικον·
εὐδύνατον κρατερὸν· θνητῶν αὔξουσα λογισμόν·
ἡδυτάτη· φιλάγρυπνος· ὑπομνήσκουσα δ' ἕκαστα,
ὧν ἂν ἕκαστος ἀεὶ στέρνοις γνώμην κατάθηται·
οὔτι παρεκβαίνουσ'· ἐπεγείρουσα φρένα πᾶσιν·
ἀλλὰ μάκαιρα θεὰ μύσταις μνήμην ἐπέγειρε,
εὐιέρου τελετῆς· λήθην δ' ἀπὸ τῶν ἀπόπεμπε·

Ἠοῦς θυμίαμα, μάνναν·

λῦθι θεὰ θνητοῖς φαεσίμβροτον ἦμαρ
ἄγουσα·
ἠὼς λαμπροφαὴς ἐρυθαινομένη κατὰ κόσμον·
ἀγγελτῖρα θεοῦ τιτᾶνος ἀγαυοῦ μεγάλοιο·
ἣ νυκτὸς ζοφερήν τε κελαινόχρωτα πορείην·
ἀντολίαις ταῖς σαῖς πέμπεις ὑπὸ νέρτερα γαίης·
ἔργων ἡγήτειρα βίου, πρόπολε θνητοῖσιν·
ἧ χαίρει θνητῶν μερόπων γένος· οὐδέ τίς ἐστιν,
ὃς φεύγει τὴν σὴν ὄψιν καθυπέρτερον οὖσαν·
ἡνίκα τὸν γλυκὺν ὕπνον ἀπὸ βλεφάρων ἀποσείσῃς·
πᾶς δὲ βροτὸς γήθει· πᾶν ἑρπετόν· ἄλλα τε φῦλα·
τετραπόδων πτηνῶν τε καὶ εἰναλίων πολυεθνῶν·
πάντα γὰρ ἐργάσιμον βίοτον θνητοῖσι πορίζεις·

ἀλλὰ μάκαιρ' ἁγνὴ. μύσταις ἱερὸν φάος αὔξοις.

Θέμιδος θυμίαμα, λίβανον.

υρανόπαιδ' ἁγνὴν καλέω θέμιν εὐπα-
τέρειαν.
γαίης τὸ βλάστημα νέον καλυκώπιδα κούρην.
ἣ πρώτη κατέδειξε βροτοῖς μαντήιον ἁγνόν.
δελφικῷ ἐν κευθμῶνι θεμιστεύουσα θεοῖσι.
πυθίῳ ἐν δαπέδῳ. ὅθι πυθοῖ ἐμβασίλευεν.
ἣ καὶ φοῖβον ἄνακτα θεμιστοσύνας ἐδίδαξε.
πάντιμε. ἀγλαόμορφε. σεβάσμιε. νυκτιπόλευτε.
πρώτη γὰρ τελετὰς ἁγίας θνητοῖς ἀνέφηνας.
βακχιακὰς ἀνὰ νύκτας ἐπευάζουσα ἄνακτα.
ἐκ σέο γὰρ τιμαὶ μακάρων. μυστήριά θ' ἁγνά.
ἀλλὰ μάκαιρ' ἔλθοις κεχαρημένη εὔφρονι βουλῇ
εὐιέρους ἐπὶ μυστιπόλους τελετὰς σέο κούρη.

Βορέου θυμίαμα, λίβανον.

ειμερίοις αὔραισι δονῶν βαθὺν ἠέρα
κόσμου.
κρυμοπαγὴς βορέα χιονώδεος ἔλθ' ἀπὸ θράκης.
λῦέ τε παννεφέλου στάσιν ἠέρος ὑγροκελεύθου.
ῥιπίζων ἰκμάσιν νοτεραῖς ὀμβρηγενὲς ὕδωρ.
αἴθρια πάντα τιθεὶς. θαλερόμματον αἰθέρα τεύχων.

Ζεφύρου θυμίαμα, λίβανον.

υραι ποντογενεῖς. ζεφυρίτιδες.
ἠεροφοῖται.
ἡδύπνοοι. ψιθυραὶ. καμάτου ἀνάπαυσιν ἔχουσαι.
εἰριναὶ. λειμωνιάδες. πεποθημέναι ὅρμοις.
σύρουσαι ναυσὶ τρυφερὸν πόρον ἠέρα κοῦφον.

ἔλθοιτ' εὐμενέουσαι ἐπιπνείουσαι ἀμεμφεῖς·
ἠέριαι· ἀφανεῖς· κουφόπτεροι· ἀερόμορφοι·

Νότου θυμίαμα, λίβανον·

αιψηρὰν πήδημα δι' ἠέρος ὑγρο-
πόρευτον·
ὠκείαις πτερύγεσσι δονούμενον ἔνθα καὶ ἔνθα·
ἔλθοις σὺν νεφέλαις νοτίαις, ὄμβροιο γενάρχα·
τοῦτο γὰρ ἐκ διός ἐστι σέθεν γέρας ἠερόφοιτον·
ὀμβροτόκους νεφέλας ἐξ ἠέρος εἰς χθόνα πέμπειν·
τοιγάρτοι λιτόμεσθα μάκαρ ἱεροῖσι χαρέντα,
πέμπειν καρποτρόφους ὄμβρους ἐπὶ μητέρα γαῖαν·

Ὠκεανοῦ θυμίαμα, ἀρώματα·

κεανὸν καλέω πατέρ' ἄφθιτον αἰὲν
ἐόντα·
ἀθανάτων τε θεῶν γένεσιν, θνητῶν τ' ἀνθρώπων·
ὃς περικυμαίνει γαίης περιτέρμονα κύκλον·
ἐξ οὗπερ πάντες ποταμοί, καὶ πᾶσα θάλασσα·
καὶ χθόνιοι γαίης πηγόρρυτοι ἰκμάδες ἁγναὶ
κλῦθι μάκαρ πολύολβε· θεῶν ἅγνισμα μέγιστον·
τέρμα φίλον γαίης· ἀρχὴ πόλου ὑγροκέλευθε·
ἔλθοις εὐμενέων μύσταις κεχαρισμένος αἰεί·

Ἑστίας θυμίαμα, ἀρώματα·

σία εὐδυνάτοιο κρόνου θύγατερ
βασίλεια·
ἡ μέσον οἶκον ἔχεις πυρὸς ἀενάοιο μεγίστου·
τούσδε σὺ ἐν τελεταῖς ὁσίους μύστας ἀναδείξαις·
θεῖσα ἀειθαλέας πολυόλβους εὔφρονας ἁγνούς·
οἶ καὶ θεῶν μακάρων θνητῶν στήριγμα κραταιόν·

ἀίδιε πολύμορφε ποθεινοτάτη χλοόμορφε.
μειδιόωσα μάκαιρα. τάδ' ἱερὰ δέξο προθύμως.
ὄλβον ἐπιπνείουσα, καὶ ἠπιόχειρον ὑγείαν.

Ὕπνου θυμίαμα, μετὰ μήκωνος.

πνε ἄναξ μακάρων πάντων θνητῶν τ' ἀνθρώπων
καὶ πάντων ζώων, ὁπόσα τρέφει εὐρεῖα χθών.
πάντων γὰρ κρατέεις μοῦνος, καὶ πᾶσι προσέρχῃ
σώματα δεσμεύων ἐν ἀχαλκεύτοισι πέδῃσι.
λυσιμέριμνε κόπων ἡδεῖαν ἔχων ἀνάπαυσιν.
καὶ πάσης λύπης ἱερὸν παραμύθιον ἔρδων.
καὶ θανάτου μελέτην ἐπάγεις, ψυχὰς διασώζων.
αὐτοκασίγνητος γὰρ ἔφυς λήθης θανάτου τε.
ἀλλὰ μάκαρ λίτομαί σε κεκραμένον ἡδὺ ἱκάνειν.
σώζοντ' εὐμενέως μύστας θείοισιν ἐπ' ἔργοις.

Ὀνείρου θυμίαμ, ἀρώματα.

ἰκλήσκω σε μάκαρ τανυσίπτερε οὖλε ὄνειρε.
ἄγγελε μελλόντων. θνητοῖς χρησμῳδὲ μέγιστε.
ἡσυχίᾳ γὰρ ὕπνου γλυκεροῦ σιγηλὸς ἐπελθὼν,
προσφωνῶν ψυχαῖς θνητῶν, νόον αὐτὸς ἐγείρεις.
καὶ γνώμας μακάρων αὐτὸς καθ' ὕπνους ὑποπέμ
σιγῶν σιγώσαις ψυχαῖς μέλλοντα προφωνῶν. πεις
οἷσιν ἐπ' εὐσεβίῃσι θεῶν, νόος ἐσθλὸς ὁδεύει.
ὡς ἂν ἀεὶ τὸ καλὸν μᾶλλον γνώμῃσι προληφθὲν,
τερπωλαῖς ὑπάγῃ βίον ἀνθρώπων προχαρέντων.
τῶν δὲ κακῶν ἀνάπαυλαν, ὅπως θεὸς αὐτὸς ἐνίσπῃ.
εὐχωλαῖς θυσίαισί τε, χόλον λύσωσιν ἀνάκτων.

εὐσεβέσιν γὰρ ἀεὶ τὸ τέλος γλυκερώτερόν ἐστι·
τοῖς δὲ κακοῖς οὐδὲν φαίνει μέλλουσαν ἀνάγκην,
ὄψις ὀνειρήεσσα· κακῶν ἐξάγγελος ἔργων·
ὄφρα ἂν εὕρονται λύσιν ἄλγεος ἐρχομένοιο·
ἀλλὰ μάκαρ λίτομαί σε θεῶν μηνύματα φράζειν·
ὡς ἂν ἀεὶ γνώμαις ὀρθαῖς κατὰ πάντα πελάζῃς·
μηδὲν ἐπ' ἀλλοκότοισι· κακῶν σημεῖα προφαίνων·

Θανάτου θυμίαμα, μάνναν·

λῦθί μευ, ὃς πάντων θνητῶν οἴηκα
κρατύνεις·
πᾶσι διδοὺς χρόνον ἁγνόν, ὅσων πόρρωθεν ὑπάρχεις
σὸς γὰρ ὕπνος ψυχῆς θραύει καὶ σώματος ὁλκόν·
ἡνίκ' ἂν ἐκλύῃς φύσεως κεκρατημένα δεσμά·
τὸν μακρὸν ζώοισι φέρων αἰώνιον ὕπνον·
κοινὸς μὲν πάντων· ἄδικος δ' ἐνίοισιν ὑπάρχων·
ἐν ταχυτῆτι βίου παύων νεοήλικας ἀκμάς·
ἐν σοὶ γὰρ μούνῳ πάντων τὸ κριθὲν τελεοῦται·
οὔτε γὰρ εὐχαῖς σὸν πείθει μένος, οὔτε λιταῖσιν·
ἀλλὰ μάκαρ· μακροῖσι χρόνοις ζωῆς γε πελάζειν,
αἰτοῦμαι θυσίαις καὶ εὐχωλαῖς λιτανάων·
ὡς ἂν ἔοι γέρας ἐσθλὸν ἐν ἀνθρώποισι τὸ γῆρας·

ΟΡΦΕΩΣ·
ΥΜ-·
ΝΟΙ·
·

# ΠΡΟΚΛΟΥ ΛΥΚΙΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

## Ὕμνοι.

### Εἰς τὸν ἥλιον.

Κλῦθι πυρὸς νοεροῦ βασιλεῦ, χρυσήνιε Τιτάν·
κλῦθι φάους ταμία. ζωαρκέος ὦ ἄνα πηγῆς.
αὐτὸς ἔχων κληῖδα. καὶ ὑλαίοις ἐνὶ κόσμοις.
ὑψόθεν ἁρμονίης ῥύμα πλούσιον ἐξοχετεύων.
κέκλυθι. μεσσατίην γὰρ ἐὼν ὑπὲρ αἰθέρος ἕδρην,
καὶ κόσμου κραδιαῖον ἔχων ἐριφεγγέα κύκλον,
πάντα τεῆς ἔπλησας ἐγερσινόοιο προνοίης.
ζωσάμενοι δὲ πλανῆτες ἀειθαλέας σέο πυρσούς,
αἰὲν ὑπ' ἀλλήκτοισι καὶ ἀκαμάτοισι χορείαις,
ζωογόνους πέμπουσιν ἐπιχθονίοις ῥαθαμίγγας.
πᾶσα δ' ὑφ' ὑμετέρῃσι παλιννόστοισι διφρείαις,
ὡράων κατὰ θεσμόν, ἀνεβλάστησε γενέθλη.
στοιχείων δ' ὀρυμαγδὸς ἐπ' ἀλλήλοισιν ἰόντων,
παύσατο σεῖο φανέντος. ἀπ' ἀρρήτου γενετῆρος.
σοὶ δ' ὑπὸ μοιράων χορός, εἴκαθεν ἀστυφέλικτος.
ἂψ δὲ μεταστρωφῶσιν ἀναγκαίης λίνον αἴσης,
εὖτε θέλεις. περὶ γὰρ κρατέεις. περὶ δ' ἶφι ἀνάσσεις.
σφῆς δ' ὑμετέρης βασιλεὺς θεοπειθέος οἴμης.
ἐξέθορεν φοῖβος. κιθάρῃ δ' ὑπὸ θέσκελα μέλπων,
εὐνάζει μέγα κῦμα βαρυφλοίσβοιο γενέθλης.
σῆς δ' ἄπο μειλιχόδωρος ἀλεξικάκου θιασείης,
παιὼν βλάστησεν. ἑὴν δ' ἐπέτασσεν ὑγείην.
πλήσας ἁρμονίης παναπήμονος εὐρέα κόσμον.

σὲ κλυτὸν ὑμνείουσι Διωνύσοιο τοκῆα.
ὕλης δ' αὖ νεάτοις ἐνὶ βένθεσιν εὔιον ἄττιν,
ἄλλοι δ' ἁβρὸν ἄδωνιν ἐπωνυμίησαν ἀοιδαῖς.
δειμαίνουσι δὲ σεῖο θοῆς μάστιγος ἀπειλήν.
δαίμονες ἀνθρώπων δηλήμονες ἀγριόθυμοι.
ψυχαῖς ἡμετέραις δνοφεραῖς κακὰ πορσύνοντες.
ὄφρ' αἰεὶ κατὰ λαῖτμα βαρυσμαράγου βιότοιο,
σώματος ὀτλάωσιν ὑπὸ ζυγόδεσμα ποθοῦσαι.
ὑψιτενοῦς δὲ λάθοιντο πατρὸς πολυφεγγέος αὐλῆς.
ἀλλὰ θεῶν ἄριστε. πυριστεφὲς. ὄλβιε δαῖμον.
εἰκὼν παγγενέταο θεοῦ ψυχῶν ἀναγωγεῦ.
κέκλυθι. καί με κάθηρον ἁμαρτάδος αἰὲν ἁπάσης.
δέχνυσο δ' ἱκεσίην πολυδάκρυον. ἐκ δέ μ' ἐλυγρῶν.
ῥύεο κηλίδων. ποινῶν δ' ἀπάνευθε φυλάσσοις.
πρηΰνων θοὸν ὄμμα δίκης, ἣ πάντα δέδορκεν.
αἰεὶ δ' ὑμετέρῃσιν ἀλεξικάκοισιν ἀρωγαῖς,
ψυχῇ μὲν φάος ἁγνὸν ἐμῇ πολύολβον ὀπάζοις.
ἀχλὺν ἀποσκεδάσας ὀλεσίμβροτον ἰολόχευτον.
σώματι δ' ἀρτεμίην τε καὶ ἀγλαόδωρον ὑγείην.
εὐκλείης τ' ἐπίβησον ἐμὲ, προγόνων τ' ἐνὶ θεσμοῖς.
μουσάων ἐρασιπλοκάμων δώροισι μελοίμην.
ὄλβον δ' ἀστυφέλικτον ἀπ' εὐσεβίης ἐρατεινῆς,
εἴκε θέλῃς δὸς ἄναξ. δύνασαι δ' ἅπαντα τελέσσαι.
ῥηϊδίως. κρατερὴν γὰρ ἔχεις καὶ ἀπείριτον ἀλκήν.
εἰ δέ τι μοιριδίοισιν ἑλιξοπόροισιν ἀτράκτοις,
ἀστεροδινήτοις ὑπὸ νήμασιν ὄλοον ἄμμιν.
ἔρχεται, αὐτὸς ἔρυκε τεῇ μεγάλῃ τόδε ῥιπῇ.

Εἰς ἀφροδίτην.

μνέομεν σειρὴν πολυώνυμον ἀφρο-
γενείης
καὶ πηγὴν μεγάλην βασιληίδα, ἧς ἄπο πάντες
ἀθάνατοι πτερόεντες ἀνεβλάστησαν ἔρωτες·
ὧν οἱ μὲν, νοεροῖσιν ὀιστεύουσι βελέμνοις,
ψυχὰς, ὄφρα πόθων ἀναγώγια κέντρα λαχοῦσαι,
μητέρος ἰσχανόωσιν ἰδεῖν πυριφεγγέας αὐλάς.
οἱ δὲ, πατρὸς βουλῇσιν ἀλεξικάκοις τε προνοίαις,
ἱέμενοι γενεῇσιν ἀπείρονα κόσμον ἀέξειν,
ψυχαῖς ἵμερον ὦρσαν ἐπιχθονίου βιότοιο.
ἄλλοι δ' ἐνδαμίων ὀάρων πολυειδέας οἴμους,
αἰὲν ἐποπτεύουσιν. ὅπως θνητῆς ἀπὸ φύτλης,
ἀθάνατον τεύξωσι δυσπαθέων γένος ἀνδρῶν.
πᾶσιν δ' ἔργα μέμηλεν, ἐρωτοτόκου κυθερείης.
ἀλλὰ θεά. πάντῃ γὰρ ἔχεις ἀρίηκοον οὖας.
εἴτε περισφίγγεις μέγαν οὐρανόν. ἔνθα σε φασὶν
ψυχὴν ἀενάου πέμπειν κόσμοιο θεείην.
εἴτε καὶ ἑπτὰ κύκλων ὑπὲρ ἄντυγας αἰθέρι ναίεις.
σειραῖς ἡμετέραις δυνάμεις προχέουσ' ἀδαμάστους.
κέκλυθι. καὶ πολύμοχθον ἐμὴν βιότοιο πορείην,
ἰθύνοις, σέο πότνια δικαιοτάτοισι βελέμνοις.
οὐχ ὁσίων παύουσα πόθων κρυόεσσαν ἐρωήν.

Εἰς τὰς μούσας.

μνέομεν μερόπων ἀναγώγιον ὑμνέο-
μεν φῶς.
ἐννέα θυγατέρας μεγάλου διὸς ἀγλαοφώνους.
αἳ ψυχὰς κατὰ βένθος ἀλωομένας βιότοιο.
ἀχράντοις τελετῇσιν ἐγερσινόων ἀπὸ βίβλων.

γηγενέων ῥύσαντο δυσαντήτων ὀδυνάων.
καὶ σφαλερὰς ἐδίδαξαν ὑπὲρ βαθυχεύμονα λήθην,
ἴχνος ἔχειν, καθαρὰς δὲ μολεῖν ποτὶ σύννομον ἄστρον
ἔνθεν ἀπεπλάγχθησαν ὅτ' ἐς γενεθλήιον ἀκτὴν,
κάππεσον. ὑλοτραφέεσσι περὶ κλήροισι μανεῖσαι.
ἀλλὰ θεαὶ καὶ ἐμεῖο πολυπτοίητον ἐρωὴν,
παύσατε. καὶ νοεροῖς με σοφῶν βακχεύσατε μύθοις,
μηδέ μ' ἀποπλάγξειεν ἀθέων γένος ἀνδρῶν,
ἀτραπιτοῦ ζαθέης ἐριφεγγέος ἀγλαοκάρπου.
αἰεὶ δ' ἐξ ὁμάδοιο πολυπλάγκτοιο γενέθλης,
ἕλκετ' ἐμὴν ψυχὴν παναλήμονα πρὸς φάος ἁγνὸν,
ὑμετέρων βρίθουσαν ἀεξινόων ἀπὸ βίβλων.
καὶ κλέος εὐεπίης φρενοθελγέος αἰὲν ἔχουσαν.
κλῦτε θεοὶ σοφίης ἱερῆς οἴηκας ἔχοντες,
οἱ ψυχὰς μερόπων ἀναγώγιον ἁψάμενοι πῦρ,
ἕλκετ' ἐς ἀθανάτους σκοτίον κευθμῶνα λιποῦσας.
ὕμνων ἀρρήτοισι καθηραμένας τελετῇσι.
κλῦτε σαωτῆρες μεγάλοι. ζαθέων δ' ἀπὸ βίβλων.
νεύσατ' ἐμοὶ φάος ἁγνὸν ἀποσκεδάσαντες ὁμίχλην.
ὄφρα κεν εὖ γνοίην θεὸν ἄμβροτον ἠδὲ καὶ ἄνδρα.
μηδέ με ληθαίοισιν ὑπὸ χεύμασιν οὐλοὰ ῥέζων,
δαίμων αἰὲν ἔχοι μακάρων ἀπάνευθεν ἐόντα.
μὴ κρυερῆς γενέθλης ἐνὶ κύμασι πεπτωκυῖαν.
ψυχὴν οὐκ ἐθέλουσαν ἐμὴν ἐπὶ δηρὸν ἀλᾶσθαι.
ποινή τις κρυόεσσα βίου δεσμοῖσι πεδήσῃ.
ἀλλὰ θεοὶ σοφίης ἐριλαμπέος ἡγεμονῆες.
κέκλυτ'. ἐπειγομένῳ δὲ πρὸς ὑψιφόρητον ἀταρπὸν.
ὄργια καὶ τελετὰς ἱερῶν ἀναφαίνετε μύθων.

HOF BIBLIOTHEK CARLSRUHE

## Εἰς ἀφροδίτην.

μνέομεν λυκίων βασιληίδα κουρα-
φροδίτην.
ἥν ποτ' ἀλεξικάκοιο περιπλήθοντες ἀρωγῆς,
πατρίδος ἡμετέρης θεοφράδμονες ἡγεμονῆες,
ἱερὸν ἱδρύσαντο κατὰ πτολίεθρον ἄγαλμα.
σύμβολ' ἔχον νοεροῖο γάμου νοερῶν ὑμεναίων.
ἡφαίστου πυρόεντος, ἰδ' οὐρανίης ἀφροδίτης.
καὶ ἑ θεὴν ὀνόμηναν ὀλυμπίαν. ἧς διὰ κάρτος,
πολλάκι μὲν θανάτοιο βροτοφθόρον ἔκφυγον ἰόν.
ἐς δ' ἀρετὴν ἔχον ὄμμα. τολεωϊγόνων δ' ἀπὸ λέκτρων,
ἔμπεδος ἀγλαόμητις ἀνασταχύεσκε γενέθλη.
πάντη δ' ἠπιόδωρος ἔην βιότοιο γαλήνη.
ἀλλὰ καὶ ἡμετέρην ὑποδέχνυσο πότνια θυηλήν,
ὦ ἐπίης. λυκίων γὰρ ἀφ' αἵματος εἰμὶ καὶ αὐτός.
ψυχὴν δ' ἂψ ἀνάειρον, ἀπ' αἴσχεος ἐς πολὺ κάλλος.
γηγενέος προφυγοῦσαν ὀλοίιον οἶστρον ἐρώων.

ΤΕΛΟΣ.
Τῷ θεῷ δόξα.

¶ Anno ab incarnatione. M.ccccc. Die. xix. Septem-
bris. Impressum Florentię impensa Philippi Iũ
tę bibriopolę. Siquos errores in hoc opere
lector ĩuenies. qui properãtes oculos
nostros subterfugerit eos pro
iudicio tuo emẽdabis.
uix fieri põt ut nõ
tales ĩteruenĩãt.